— as hypostasis: II 9,13,30 (v. φύσις,a) αἴσθησιν τὴν ἐν ὑποστάσει III 4,1,2 cf. γεννᾷ (sc. ἡ ψυχή) εἴδωλον αὐτῆς αἴσθησιν καὶ φύσιν V 2,1,21 **a2**) essence, properties, finality of physical sensation: τὰ πάθη ἢ εἰσιν αἰσθήσεις τινὲς ἢ οὐκ ἄνευ αἰσθήσεως I 1,1,13 cf. III 6, 1,1 καὶ μὴν οὐδὲ αἰσθήσεται οὐδὲ διάνοια οὐδὲ δόξα περὶ αὐτό (sc. τὸ ἁπλοῦν ἐν οὐσίᾳ)· αἴσ. γὰρ παραδοχὴ εἴδους ἢ καὶ πάθους (καὶ πάθους cj. Gollwitzer: ἀπαθοῦς MSS) σώματος, διάνοια δὲ καὶ δόξα ἐπ' αἴσθησιν (sc. ἀνάγονται) I 1,2,26-27 ἆρα (sc. δεῖ λέγειν) ὅτι (sc. τὸ συναμφότερον λυπεῖται) τοῦ σώματος οὑτωσὶ διατεθέντος καὶ μέχρις αἰσθήσεως διελθόντος τοῦ πάθους τῆς αἰσθήσεως εἰς ψυχὴν τελευτώσης; ἀλλ' ἡ αἴσ. οὔπω δῆλον πῶς I 1,5,10-11 cf. I 1,6,11 τὴν δὲ τῆς ψυχῆς τοῦ αἰσθάνεσθαι δύναμιν οὐ τῶν αἰσθητῶν εἶναι δεῖ, τῶν δὲ ἀπὸ τῆς αἰσθήσεως ἐγγιγνομένων τῷ ζῴῳ τύπων ἀντιληπτικὴν εἶναι μᾶλλον· νοητὰ γὰρ ἤδη ταῦτα· ὡς τὴν αἴσθησιν τὴν ἔξω εἴδωλον εἶναι ταύτης, ἐκείνην δὲ ἀληθεστέραν τῇ οὐσίᾳ οὖσαν εἰδῶν μόνων ἀπαθῶς εἶναι θεωρίαν I 1,7,10-12 πρῶτον δὲ εἴδωλον (sc. τῆς ψυχῆς) αἴσ. ἡ ἐν τῷ κοινῷ I 1,8,18 I 6,3,10 (v. συνδεῖν) τὰς αἰσθήσεις οὐ πάθη . ., ἐνεργείας δὲ περὶ παθήματα καὶ κρίσεις III 6,1,1 cf. IV 4,28,4. IV 6,2,17 III 8,7,12 (v. γνῶσις) IV 3,22,16 (v. τὸ αἰσθητικόν) εἰ . . τὸ συναμφότερόν ἐστιν ἐν ταῖς αἰσθήσεσι ταῖς κατ' ἐνέργειαν κτλ IV 3,26,2 οὐ δὴ (sc. τοῦ συναμφοτέρου) ἡ μὲν αἴσ. οὕτω κοινὸν ἔργον λέγοιτο ἄν, κτλ 9 τοῦτο (sc. τὸ φανταστικόν) γάρ ἐστιν, εἰς ὃ λήγει ἡ αἴσ. IV 3,29,25 τῷ εἰς ὃ λήγουσιν αἱ αἰσθήσεις IV 4,19,7 (v. ψυχή, d1β); 20,14.17 ἢ οὐ τολμητέον καὶ ἄνευ ὀργάνων γίνεσθαι αἰσθήσεις IV 4,22,35 αἱ γὰρ τούτων (sc. ἡλίου κτλ) αἰσθήσεις καὶ παρ' αὐτῶν ἡδεῖαι 41.45 (v. χρεία, b) δι' ὀργάνων δεῖ σωματικῶν τὰς αἰσθήσεις γίνεσθαι. καὶ γὰρ τοῦτο ἀκόλουθον τῷ τὴν ψυχὴν πάντη σώματος ἔξω γενομένην μηδενὸς ἀντιλαμβάνεσθαι αἰσθητοῦ IV 4,23, 32 ὅτι ψυχῆς ἐν σώματι καὶ διὰ σώματος ἡ αἴσ., δῆλον 48 τὸ δὲ εἰ τῆς χρείας μόνον ἡ αἴσ., ὧδε σκεπτέον IV 4,24,1 cf. IV 4,22,45; 24,9 IV 4,24,2-4 (v. σῶμα,a); 28,4 (v. πάθος,a) τὰς αἰσθήσεις οὐ τυπώσεις οὐδ' ἐνσφραγίσεις λέγοντες ἐν ψυχῇ γίγνεσθαι, κτλ IV 6,1,1 cf. IV 6,3,56 IV 6,2,17 (v. πάθος, a) ἰσχὺς ἄρα τις καὶ ἡ αἴσ. καὶ ἡ μνήμη IV 6,3,55.56 (v. μνήμη) δεῖ τοίνυν τοῦτο ὥσπερ κέντρον εἶναι, γραμμὰς δὲ συμβαλλούσας ἐκ περιφερείας κύκλου τὰς πανταχόθεν αἰσθήσεις πρὸς τοῦτο περαίνειν, καὶ τοιοῦτον τὸ ἀντιλαμβανόμενον εἶναι, ἓν ὂν ὄντως. εἰ δὲ διεστὼς τοῦτο γένοιτο, καὶ οἷον γραμμῆς ἐπ' ἄμφω τὰ πέρατα αἱ αἰσθήσεις προσβάλλοιεν, ἢ συνδραμεῖται εἰς ἓν καὶ τὸ αὐτὸ πάλιν, οἷον τὸ μέσον, ἢ ἄλλο, τὸ δὲ ἄλλο, (sc. αἰσθήσεται,i.e.) ἑκάτερον ἑκατέρου αἴσθησιν ἕξει IV 7,6,13-18 ἔτι εἰ αἰσθητῶν μὲν ἡ αἴσ., νοητῶν δὲ ἡ νόησις IV 7,8,8 IV 9,3,20 (v. ψυχή,a) ἡ δὲ αἴσ. ἡ κρίνουσα μετὰ νοῦ ἑκάστου (sc. ἐστίν), κτλ 26 V 3,1,20 (v. τὰ ἔξω, b); 3,33 (v. αἰσθάνεσθαι,a2) τὰ ἐκ τῆς αἰσθήσεως κάτωθεν 37 χείρονος μὲν τῆς αἰσθήσεως, βελτίονος δὲ τοῦ νοῦ. ἀλλ' αἴσ. μὲν ἀεὶ ἡμέτερον δοκεῖ συγκεχωρημένον — ἀεὶ γὰρ αἰσθανόμεθα — νοῦς δὲ ἀμφισβητεῖται 39-40 αἴσ. δὲ ἡμῖν ἄγγελος 44 V 4,2,45 (v. αἰσθητός) τὰ ἐπὶ τῆς αἰσθήσεως, ἃ δὴ δοκεῖ πίστιν ἔχειν ἐναργεστάτην, ἀπιστεῖται, μή ποτε οὐκ ἐν τοῖς ὑποκειμένοις, ἀλλ' ἐν τοῖς πάθεσιν ἔχει τὴν δοκοῦσαν ὑπόστασιν καὶ νοῦ δεῖ ἢ διανοίας τῶν κρινούντων· ἐπεὶ καὶ συγκεχωρημένου ἐν τοῖς ὑποκειμένοις εἶναι αἰσθητοῖς, ὧν ἀντίληψιν ἡ αἴσ. ποιήσεται, τό τε γινωσκόμενον δι' αἰσθήσεως τοῦ πράγματος εἴδωλόν ἐστι καὶ οὐκ αὐτὸ τὸ πρᾶγμα ἡ αἴσ. λαμβάνει· μένει γὰρ ἐκεῖνο ἔξω V 5,1,12-19.62 (v. δόξα,Aa) πάντες ἄνθρωποι ἐξ ἀρχῆς γενόμενοι αἰσθήσει πρὸ νοῦ χρησάμενοι V 9,1,1 VI 1,6,12 cf. 15 (v. ἐπιστήμη); 18,13 αἴσ. δὲ εἶδός τι ἐξ ἀμφοῖν (sc. αἰσθανομένου καὶ αἰσθητοῦ) VI 1,9,21 καὶ γὰρ τὴν αἴσθησιν πρὸς τὸ αἰσθητόν VI 1,18,13 cf. 14 καὶ ἡ αἴσ. δέ, εἰ πρὸς ἕτερον, σχέσιν μὲν ἔχει πρὸς ἐκεῖνο, ἔχει δέ τι παρὰ τὴν σχέσιν, τὸ ἢ ἐνέργεια ἢ πάθος εἶναι VI 1,18,15 VI 2,4,15 (v. supra,a1) VI 3,18,9-10 (v. νοῦς, a) ὄμματα καὶ τὰ ἄλλα ὄργανα ταῖς αἰσθήσεσιν ἑκάσταις ἔδωκε (sc. ὁ θεός) VI 7,1,3.12 (v. ζῷον,a) καὶ δὴ καὶ εἴδη αἰσθήσεων ἄλλων (sc. ποιεῖ ἡ ψυχή), αἰσθήσεις ἄλλας ἐναργεῖς δοκούσας εἶναι, ἀμυδροτέρας δὲ ὡς πρὸς τὰς πρὸ αὐτῶν καὶ εἰκόνας VI 7,5,19 τήνδε τὴν αἴσθησιν <ὅτι σωμάτων ἦν>, ἀμυδροτέραν οὖσαν τῆς ἐκεῖ ἀντιλήψεως, ἣν ὀνομάζομεν [αἴσθησιν ὅτι σωμάτων ἦν] (cj. H-S$^2$) ἐναργεστέραν εἶναι VI 7,7,26-27 ὥστε εἶναι τὰς αἰσθήσεις ταύτας ἀμυδρὰς νοήσεις, τὰς δὲ ἐκεῖ νοήσεις ἐναργεῖς αἰσθήσεις 30-31 μαρτυροῦσι δὲ καὶ αἱ αἰσθήσεις εἰδήσεις εἶναι θέλουσαι VI 7,29,25 **a3**) αἴσθησις denied: ὅτι μὴ αἴσ. πάρεστιν αὐτοῖς (sc. τοῖς φυτοῖς) I 4,1,23 τῶν προσωτέρω καλῶν, ἃ οὐκέτι αἴσ. ὁρᾶν εἴληχε I 6,4,1 αἱρετὴ οὖσα οὐ ταῖς αἰσθήσεσιν (sc. ἡ ὕλη) II 4,12,28 αἱ αἰσθήσεις οὕτως οὐκ ἂν (sc. τοῦ ἔξω τοῦ οὐρανοῦ σώματος), εἰ μὴ τὸ σῶμα τοῦτο τὸ ἔξω μέρος τοῦδε τοῦ ζῴου· εἰ γὰρ εἴη, τάχα ἂν IV 5,8,5 ἐπὶ κητῶν . . μεγάλων, ἐφ' ὧν παθήματός τινος περὶ τὸ μέρος ὄντος τῷ ὅλῳ αἴσ. διὰ μικρότητα τοῦ κινήματος οὐδεμία προσέρχεται· ὥστε οὐκ ἀνάγκη διάδηλον τύπῳ τὴν αἴσθησιν τῷ ὅλῳ καὶ παντὶ εἰσαφικνεῖσθαι ἑνός τινος πα-

θόντος IV 9,2,17-18 *τό τε φυτικὸν καὶ ἐν οἷς μὴ αἴσ.* IV 9,3,22 V 3.14,18 (v. *νοῦς*,c) V 5,1,19 (v. supra, a2) cf. *μόνον δὲ αὐτὸ γενόμενον, μὴ πρὸς ἑτέρῳ, οὐ δύναται ἡ αἴσ. λαβεῖν* V 5,7,10.11 (v. *φῶς*) VI 7,11,63 (v. *αἷμα*) « *οὔτε λόγος οὔτε αἴσ. οὔτε ἐπιστήμη* » (sc. *τῷ ἀγαθῷ*, cf. Plat. Parm. 142a) VI 7,41,37 **a4**) others' views: *οὐ γὰρ δὴ ὅπερ ἀπατῶντες ἑαυτοὺς λέγουσιν* (sc. Stoici), *ὡς* « *διαδόσει* » (cf. Alex. Aphrod. De An., Suppl. Aristot. II 1, p. 41,5) *ἐπὶ τὸ ἡγεμονοῦν ἴασιν αἱ αἰσθήσεις, παραδεκτέον* IV 2,2,13 IV 7,7,12 (v. supra, a 1).23 *αἰσθήσεις δὲ μόνον δυνατὸν ἴσως γίνεσθαι, τὰς δὲ νοήσεις ἀδύνατον* (sc. *ἐντελεχείας οὔσης τῆς ψυχῆς*) IV 7,8$^5$,14 *αἴτιον δὲ* (sc. *τοῦ μὴ ὂν ὡς τὸ μάλιστα ὂν προτάττειν*) *ἡ αἴσ. αὐτοῖς* (sc. Stoicis) *ἡγεμὼν γενομένη καὶ πιστὴ εἰς ἀρχῶν καὶ τῶν ἄλλων θέσιν* VI 1,28,5 *πάντων τε θαυμαστότατον τὸ τῇ αἰσθήσει πιστουμένους ἕκαστα τὸ μὴ τῇ αἰσθήσει ἁλωτὸν τίθεσθαι ὄν* 18-19

**b**) perception other than physical: I 1,7,12 (v. supra,a2) *θεωρεῖν οἷον σὺν αἰσθήσει* (v.l.) I 1,9,20 I 4,2,11 (v. *τὸ ἀγαθόν*).14 *μικτὴν ἕξει τὴν αἴσθησιν* (MSS: *διάθεσιν* cj. Sleeman, H-S) I 8,12,4 *τυφλοῦ τινος καὶ παντάπασιν οὔτε αἴσθησιν οὔτε νοῦν ἔχοντος* II 9,16,38 cf. III 2,1,3 III 2,16,19 (v. *ἐνέργεια*,c) *σφοδραὶ τούτων αἰσθήσεις* III 6,3,5.18 *καὶ εἴτε τις βούλεται σύνεσίν τινα ἢ αἴσθησιν αὐτῇ* (sc. *τῇ φύσει*) *διδόναι, οὐχ οἵαν λέγομεν ἐπὶ τῶν ἄλλων τὴν αἴσθησιν ἢ τὴν σύνεσιν, ἀλλ' οἷον εἴ τις τὴν καθύπνου* (cj. H-S$^3$: *τοῦ ὕπνου* MSS) *τῇ* (cj. H-S: *τοῦ* MSS) *ἐγρηγορότος προσεικάσειε* III 8,4,22-23 IV 4,17,12 (v. *φαντασία*) *ἐκεῖνο μὲν οὖν τὸ πεπονθὸς ἀλγεῖ, εἰ μή τις τὸ* « *ἀλγεῖ* » *μετὰ τῆς ἐφεξῆς αἰσθήσεως περιλαμβάνοι· περιλαμβάνων δὲ δηλονότι τοῦτο σημαίνει, ὡς ὀδύνη μετὰ τοῦ μὴ λαθεῖν τὴν ὀδύνην τὴν αἴσθησιν. ἀλλ' οὖν τὴν αἴσθησιν αὐτὴν οὐκ ὀδύνην λεκτέον, ἀλλὰ γνῶσιν ὀδύνης· κτλ* IV 4,19,23-26 *αἰσθήσεως δεῖ καὶ συνέσεώς τινος ἐν τῷ ὀργίζεσθαι* IV 4,28,25.41 *ἄνευ αἰσθήσεως .., αἰσθήσεως δὲ ἐγγενομένης* 61-62 IV 8,8,5 (v. *ψυχή*,e5) V 3,3,10; 13,22 (v. *συναίσθησις*); 14,11 (v. *κινεῖν*,b) V 8,11,11 (v. *ὀπίσω*,a) *τῶν κακῶν* (q.v.,c) *αἱ αἰσθήσεις* 25 VI 7,5,22; 6,6 (v. *πῦρ*) *αἰσθήσεις καὶ ἀντιλήψεις* 8 (v. *ψυχή*,e5) *εἰ γὰρ αἴσθησιν λάβοι* (sc. *ἡ ὕλη*), *ἀσπάσαιτ' ἂν* (sc. *τὸ εἶδος*) VI 7,25,25 *ὁ λόγος αἴσθησιν δοὺς* (sc. *τῇ ὕλῃ*) VI 7,28,9 (v. *ὑπόθεσις*) *εἰ αἴσθησιν λάβοι τὸ εἶναι αὐτῆς* 13 *εἰ αἴσθησιν αὐτοῦ λάβοι τὸ κακόν* 17 cf. VI 7,29,5 (v. *τὸ ἀγαθόν*, d) « *μακαρίαν* » *διδοὺς αἴσθησιν καὶ* « *θέαν* » (cf. Plat. Phaedr. 250b) VI 7,35,38 *ἀλλὰ τίς παραδέξεται φύσιν οὐκ οὖσαν* <*ἐν*> (add. Fic.) *αἰσθήσει καὶ γνώσει αὐτῆς;* VI 7,38,10 *εἰ δ' ὅτι γιγνώσκει τὸ ζῷον καὶ ἡ ψυχὴ ὃ ποιεῖ, εἰ μὲν αἰσθήσει, τίς ἡ προσθήκη πρὸς τὸ ἐπ' αὐτοῖς εἶναι; οὐ γὰρ ἡ αἴσ. πεποίηκε τοῦ ἔργου κύριον ἰδοῦσα μόνον* VI 8,2,26-27

c) characteristic uses: **1**) subject of verbs such as *λέγει, ὁρᾷ* etc.: I 6,3,10 (v. *συνδεῖν*); 4,1 (v. supra,a3) II 9,18,45 (v. *ἄστρον*) III 6,3,21 III 8,7,12 (v. *γνῶσις*) *ἥ τε αἴσ. ὁρᾷ κτλ* IV 7,1,10 V 1,5,11 (v. *παχύς*) *ἡ .. αἴσ. εἶδεν ἄνθρωπον καὶ ἔδωκε τὸν τύπον τῇ διανοίᾳ* V 3,3,1 VI 3,18,9 (v. *νοῦς*,a) *ἄλλη δὲ αἴσ. ἄλλο* (sc. *εἶδε*), *ὁμοῦ πάντων, ἀλλ' οὐ χωρὶς ὄντων* VI 4,11,14 *ἡ μὲν γὰρ αἴσ., ᾗ προσέχοντες ἀπιστοῦμεν τοῖς λεγομένοις, λέγει ὅτι ὧδε καὶ ὧδε* (sc. *τὸ ὄν*), *ὁ δὲ λόγος κτλ* VI 4,13,2 **c2α**) *ἐν αἰσθήσει* synonym of *αἰσθητικόν*: *ὡς ἐν αἰσθήσει οὖσι* IV 7,15,6 (v. *θνήσκειν*) **c2β**) *ἐν αἰσθήσει* synonym of *αἰσθητόν*: *τῶν ἐν αἰσθήσει καλῶν* (q.v.) I 6,3,34 *τὰ ἐν οὐκ αἰσθήσει* I 6,5,1 (v. *ἐρωτικός*) *τὸν γεννῶντα τὰ ἐν αἰσθήσει δηλοῦντες εἶναι τὸν νοητὸν λόγον* III 6,19,28 *τὰ δὲ ῥεῖ καὶ οὐ μένει* (one MS.: *νεύει* most MSS), *ὅσα ἐν αἰσθήσει* V 6,6,16 *τοῦτο τὸ πῦρ τὸ ἐν αἰσθήσει* VI 5,8,31 *τοῦ ἐν αἰσθήσει ἀνθρώπου ὄντος* VI 6,13,2 (v. *εἷς*,b)

**αἰσθητήριον** *organ of sense*: *εἰ διὰ πολλῶν αἰσθητηρίων πλείω τὰ εἰσιόντα εἴη* IV 7,6,5 *εἰ δὲ τοῖς διαφόροις αἰσθητηρίοις ταῦτα* (sc. *διαιροῦμεν*), *οὐκ ἐν τοῖς ὑποκειμένοις ἡ διαφορά* VI 3,17,18

**αἰσθητικός** *perceptive*: *ἡ δύναμις δὲ ἡ αἰσθητικὴ οὐκ αἰσθήσεται, ἀλλὰ τὸ ἔχον τὴν δύναμιν* (sc. *τὸ συναμφότερον*) I 1,6,9.13 *ἐνέργειαν ζωῆς αἰσθητικῆς* I 4,2,12 *ἐν λογικῇ ζωῇ .., ἀλλ' οὐχ ἁπλῶς ζωῇ, οὐδὲ εἰ αἰσθητικὴ εἴη* (sc. *τὸ εὐδαιμονεῖν*) 33 *ἔχει τελείαν ζωὴν ἄνθρωπος οὐ τὴν αἰσθητικὴν μόνον ἔχων, ἀλλὰ καὶ λογισμὸν κτλ* I 4,4,7 *οὐκ ἔρχεται εἰς τὸν ἄλλον ἄνθρωπον ἡ τῆς τοιαύτης* (sc. *τῆς φυτικῆς*) *ἐνεργείας ἀντίληψις τῷ αἰσθητικῷ* I 4,9,27 *ἥ τε αἰσθητικὴ* (sc. *ψυχή*) *ἀπὸ τοῦ ἄνω αὖ καὶ αὐτὴ τὸ ἀγαθὸν λαβοῦσα κτλ* II 2,3,18 II 9,6,30 (v. *νοητός*,c) *τὸ αἰσθητικόν* (sc. *οἷον εἴ τις κακὸν λέγοι*), *ὅτι μὴ λόγος* II 9,13,31 *ἐν αἰσθητικῷ εἴδει* (sc. *ψυχή*) III 4,2,4 *διὸ καὶ ὡς αἰσθητικοί* (sc. *ζῶμεν*)*· ἔστι γὰρ καὶ ὄργανα αἰσθήσεως* 8 *φεύγειν δεῖ πρὸς τὸ ἄνω ἵνα μὴ εἰς τὴν αἰσθητικήν* 13; 3,6 (v. *δαίμων*) *καὶ τὸ αἰσθητικὸν ὡσαύτως* (sc. *πάρεστιν οὐ παρὸν τῇ τοῦ παντὸς ψυχῇ*) III 4,4,13 *τῆς φαντασίας τῆς αἰσθητικῆς* III 6,4,45 *οὐδὲ αἰσθητικήν* (sc. *ζωήν*) III 8,8,14.16 (v. *νόησις*,a) *πᾶν μὲν δὴ τὸ αἰσθητικόν, εἴπερ διὰ παντὸς αἰσθήσεται, ἀφικνεῖσθαι πρὸς τὸ μερίζεσθαι* IV 3,19,11 *πρὸς μὲν αἴσθησιν παρεῖναι παντὶ τῷ αἰσθανομένῳ τὸ αἰσθητικόν, πρὸς δὲ ἐνεργείας ἤδη ἄλλο ἄλλῳ* IV 3,22,17 *ψυχῆς οὔσης αἰσθητικῆς καὶ φανταστικῆς* IV 3,23,22 *ἐν τούτῳ τῷ αἰσθητικῷ, ὃ ἐν τῷ ἐγκεφάλῳ ἐκείνως ἵδρυτο* 26 *αἰσθητικὸν γὰρ κριτικόν πως* 31.35 *τί οὖν κωλύει καὶ αἴσθησιν*

*τῶν τοιούτων διδόναι αὐτῷ* (sc. *τῷ ἐπιθυμητικῷ*) *καὶ τῷ αἰσθητικῷ τοίνυν ἐπιθυμίαν κτλ*; IV 3,28,8; 29,1-2 (v. *μνήμη, μνημονευτικός*). 4 (v. *μνημονεύειν*) *ἔτι εἰ τὸ αἰσθητικόν, καὶ τῶν μαθημάτων ἔσται καὶ τῶν διανοημάτων τὸ αἰσθητικόν. ἢ ἄλλο γε δεῖ ἑκατέρων* 6-7 *τῆς αἰσθητικῆς ψυχῆς* (q.v.,d1β) IV 4,19,5 *τὴν τοῦ αἰσθητικοῦ φύσιν οὐκέτι τῷ σώματι «συμπεφυρμένην»* (cf. Plat. Phaed. 66b), *ἐποχουμένην δέ* IV 4,27,14; 28,10 *οὐδ' ἡ αἰσθητική, εἴπερ καὶ αὕτη τῶν αἰσθητῶν ἀπόντων τοὺς τύπους ἔχει, αὐτοὺς οὐ* (repetition of negative) *μετὰ τοῦ σώματος ἄρα ἕξει* IV 7,8$^{5}$,19 *τῇ αἰσθητικῇ τῇ ἔνδον δυνάμει* IV 8, 8,10 *ἔν τε τοῖς αἰσθητικοῖς* (sc. *ζῴοις*) *οὕτως ἡ αἰσθητική* (sc. *ὕλη πανταχοῦ*) IV 9,1,4-5 *τύπωσιν δὲ αἰσθητικὴν οὐκ ἀναγκαῖον γίγνεσθαι* IV 9,2,21 *παθητικῶς αἰσθητικόν* IV 9,3, 26 (v. *τρέφειν*) *ἅτε μετὰ τοῦ αἰσθητικοῦ ὄντες* V 1,12,9 (v. *ψυχή*,e1α) *τὸ . . αἰσθητικὸν αὐτῆς αὐτόθεν ἂν φαῖμεν τοῦ ἔξω εἶναι μόνον* V 3,2,3 *ἀπὸ τοῦ αἰσθητικοῦ ἀρξάμενα* V 3,3,13 (v. *ψυχή*,e1β) *οὐ μὴν οὐδὲ αἰσθητικήν* (sc. *ἔδωκε ζωὴν ἐκεῖνο τὸ φῶς = νοῦς*), *αὕτη γὰρ ἔξω βλέπει καὶ [οὐ μᾶλλον]* (del. Igal,H-S$^{2}$) *αἰσθάνεται* V 3,8,31 *αἰσθητικῆς* (sc. *ζωῆς*) VI 3,7,28 VI 7,1,15 (v. *ψυχή*,d1β) *εἰ τοίνυν ἔγκειται τὸ αἰσθητικὸν εἶναι καὶ οὕτως αἰσθητικὸν ἐν τῷ εἴδει ὑπὸ ἀιδίου ἀνάγκης καὶ τελειότητος νοῦ ἐν αὐτῷ ἔχοντος, εἴπερ τέλειος, τὰς αἰτίας, . . καὶ οὐχὶ ὁ ἄνθρωπος ἐκεῖ μόνον νοῦς ἦν, προσετέθη δὲ τὸ αἰσθητικόν, ὅτε εἰς γένεσιν ἐστέλλετο-πῶς οὐκ ἂν ἐκεῖνος ὁ νοῦς πρὸς τὰ τῇδε ῥέποι; τί γὰρ ἂν εἴη αἰσθητικὸν* (sc. *ἄλλο*) *ἢ ἀντιληπτικὸν αἰσθητῶν; πῶς δ' οὐκ ἄτοπον, ἐκεῖ μὲν αἰσθητικὸν ἐξ ἀιδίου, ἐνταῦθα δὲ αἰσθάνεσθαι καὶ τῆς ἐκεῖ δυνάμεως τὴν ἐνέργειαν πληροῦσθαι ἐνταῦθα, ὅτε χείρων ἡ ψυχὴ γίγνεται;* VI 7,3,22-30 *αἰσθητικοῦ ὄντος τοῦ γενομένου* VI 7,5,26 *πῶς οὖν ἐν τῇ κρείττονι τὸ αἰσθητικόν; ἢ τὸ αἰσθητικὸν τῶν ἐκεῖ ἂν αἰσθητῶν* (scr. H-S: *ἀναισθήτων* most MSS), *καὶ ὡς ἐκεῖ τὰ αἰσθητά. διὸ καὶ οὕτως αἰσθάνεται τὴν αἰσθητὴν ἁρμονίαν, τῇ δὲ αἰσθήσει παραδεξαμένου τοῦ αἰσθητικοῦ ἀνθρώπου καὶ συναρμόσαντος εἰς ἔσχατον πρὸς τὴν ἐκεῖ ἁρμονίαν* VI 7,6,1-4 *ἦν δὲ ἡμῖν ὁ λόγος, τὸ αἰσθητικὸν ὅπως τοῦ ἀνθρώπου καὶ πῶς οὐκ ἐκεῖνα πρὸς γένεσιν βλέπει* VI 7,7, 18 *καὶ διὰ τοῦτο καὶ τοῦτον* (sc. *τὸν ἄνθρωπον*) *αἰσθητικόν, ὅτι ἐλαττόνως, καὶ ἐλαττόνων ἀντιληπτικός* (cj. Creuzer: *ἀντιληπτικὸν* most MSS) *εἰκόνων ἐκείνων* 28; 8,1 Comp.: *ἐκεῖ δὴ ἐν ἀγαθῷ γινομένη ψυχὴ καὶ αἰσθητικωτέρα γενομένη κινεῖται πρὸς τὸ ἀγαθὸν κτλ* II 2,3, 16

**αἰσθητός** *perceptible*: I 1,7,10 (v. *αἴσθησις*, a 2) *οὐδὲ γὰρ οἰκία ἡ αἰσθητὴ τὸ αὐτὸ τῇ νοητῇ, καίτοι ὡμοίωται* I 2,1,43 cf. 44 I 3,1,28 (v. *φθογγός*) *τῆς περὶ τὸ αἰσθητὸν πλάνης* I 3,4,9 *λανθάνει δὲ ἴσως* (sc. *αὕτη ἡ ἐνέργεια*) *τῷ μὴ περὶ ὁτιοῦν τῶν αἰσθητῶν* I 4,10,1 *ἔστι μὲν γάρ τι καὶ βολῇ τῇ πρώτῃ αἰσθητὸν γινόμενον* (sc. *τὸ ἐν τοῖς σώμασι καλόν*) I 6,2,3 *ταῖς αἰσθηταῖς* (sc. *ἁρμονίαις*) I 6,3,31 *κάλλει πολλῷ αἰσθητῷ συνών* I 6,8, 20 *τοῦτο δ'* (sc. *τὸ μὴ ὄν*) *ἐστὶ τὸ αἰσθητὸν πᾶν καὶ ὅσα περὶ τὸ αἰσθητὸν πάθη κτλ* I 8,3, 9-10 *θεοῖς . . τοῖς αἰσθητοῖς* I 8,5,31 II 3,8,8 (v. *σημαίνειν*, a) *ἀφ' ὧν* (sc. *τῶν γινομένων*) *καὶ ἡ τῶν αἰσθητῶν ὕλη ἐνοήθη* II 4,2,7 cf. II 4,8,4 *διάφορόν γε μὴν τὸ σκοτεινὸν τό τε ἐν τοῖς νοητοῖς τό τε ἐν τοῖς αἰσθητοῖς ὑπάρχει* II 4,5,13 *οὐδὲν ἂν αὐτῇ προσάπτοιμεν τῇ αὐτῆς φύσει* (sc. *τῇ ὕλῃ*), *ὅσα ἐπὶ τοῖς αἰσθητοῖς ὁρᾶται* II 4,8,7 *ἀφελοῦσα ὅσα ἐπὶ τοῖς αἰσθητοῖς οἷον φῶς* II 4,10,15 *ἐν τοῖς αἰσθητοῖς τὸ δυνάμει* II 5,1,6 *καὶ ἐπὶ τῶν αἰσθητῶν εὐλόγως* (sc. *ὁριζόμεθα τὸ ποιόν*)· *οὐδὲν γὰρ αὐτῶν οὐσίαν εἶναι, ἀλλ' αὐτῆς πάθη* II 6,1,48 *τῆς ἐν φθόγγοις αἰσθητοῖς* (sc. *ἁρμονίας*,q.v.) II 9,16,41 *ἐπιγινώσκοντες μίμημα ἐν τῷ αἰσθητῷ τοῦ ἐν νοήσει κειμένου οἷον θορυβοῦνται* 46 *ὁρῶν σύμπαντα μὲν τὰ ἐν αἰσθητῷ κάλλη, κτλ* 51 cf. II 9,17,34 *τὸν ἄνθρωπον* (q.v.) *τὸν αἰσθητόν* III 2,7,7 *ἐν . . αἰσθητοῖς* III 2,14,9 (v. *νοητά*) *ἐπακολουθοῦντες τοῖς αἰσθητοῖς εἰδώλοις* III 4,2,13 *τῶν ἄνω* (sc. *ψυχῶν*) *αἱ μὲν ἐν αἰσθητῷ, αἱ δὲ ἔξω. κτλ* III 4,6,19 *ἐν τῷ αἰσθητῷ* III 5,6,21 (v. *θεός*,a) *ζῷα αἰσθητά* 37 *ὡς πρὸ τοῦ αἰσθητοῦ τοῦ Ἔρωτος γενομένου* III 5,7,3 III 6,4,24 (v. *ταραχή*); 12,10 (v. *κενός*,a) *εἰ . . ἀνέλοις τὰ ὄντα, οὐδὲν ἂν οὐδένα χρόνον φανείη τῶν νῦν ἐν αἰσθητῷ ὁρωμένων* III 6,13,38 *ἐν τῇ ὕλῃ οὕτω τὰ αἰσθητὰ ἔστω* (sc. *ὡς ἐν κατόπτροις*) 50 *αἰσθητοῦ πυρός* III 6,15,2 *τὸ αἰσθητοῖς εἶναι καὶ αὐτοῖς ὑπάρχει* (sc. *τοῖς τὸ πῦρ ἐξ ἡλίου περὶ αὐτὰ συνάγουσι*) 3 *τὰ . . τῶν αἰσθητῶν εἴδη οἷον ἀναστρέφοντα πρὸς αὐτὴν καὶ προσιόντα ὁρῶσα* (sc. *ἡ ψυχή*) *οὐκ ἀνέχεται μετὰ πλήθους δέχεσθαι, ἀλλ' ἀποθέμενα τὸν ὄγκον ὁρᾷ* III 6,18,26 III 7,11,27 (v. *κόσμος*,b) *τῇ μὲν οὖν ὁράσει ἡ πλήρωσις παρὰ τοῦ αἰσθητοῦ* III 8,11,7 *τότε μὲν οὖν διῃροῦμεν αἰσθητῇ καὶ νοητῇ φύσει διαστελλόμενοι, κτλ* IV 2,1,8 *τὰ αἰσθητὰ μεγέθη καὶ ὄγκοι, ὧν ἕκαστον ἴδιον τόπον ἔχει* 15 *τοῦ ἐν αἰσθητοῖς μεριστοῦ* (q.v.) *κτλ* 31 *πρὸς μὲν τοῦ αἰσθητοῦ καὶ ἐγγύς τι τούτου καὶ ἐν τούτῳ ἄλλη . . φύσις* 32 *ἐν τῷ αἰσθητῷ τόπῳ* IV 3.17,3 (v. *οὐρανός*) *εἰ . . ἡ ψυχὴ . . αἰσθητὸν ἦν κτλ* IV 3,20,47 *ἀναμάττεσθαι . . τοὺς τῶν αἰσθητῶν τύπους* IV 3,26,27.32 (v. *νόησις*,e1α) *εἰ μὲν ἓν καὶ ταὐτὸ τὸ ἀντιλαμβανόμενον αἰσθητῶν τε καὶ νοητῶν* IV 3,29,10 cf. IV 3,31,6 IV 4,3,8; 5,26 (v. *κόσμος*,b) *τῷ κατὰ μέρος αἰσθητῷ τὴν ἐπιβολὴν ποιεῖσθαι* IV 4,8,5; 16,8; 22,39 (v. *εἴδησις*); 23,1 (v. *αἰσθάνεσθαι*, a2) *τῇ αἰσθητῇ . . γραμμῇ* (q.v.) 10 *τῷ*

αἰσθητῷ πυρὶ ἢ ἀνθρώπῳ 11.13.14.25.34 διεστηκότος πόρρω τοῦ αἰσθητοῦ 43; 25,3 (v. νεύειν,a); 29,27 μέρος δὲ (sc. τοῦ ζῴου) ἕκαστόν ἐστι τὸ ἐν τῷ παντὶ αἰσθητῷ κτλ IV 4,32,8 IV 5,1,7 (v. αἰσθάνεσθαι,a2).8 διὰ γὰρ τούτων (sc. ὀργάνων σωματικῶν) οἷον συμφυῶν ἢ συνεχῶν ὄντων οἷον εἰς ἕν πως πρὸς αὐτὰ τὰ αἰσθητὰ ἰέναι 12 μέχρι τοῦ αἰσθητοῦ IV 5,2,2 (v. ὁρᾶν,a).56 (v. ὄμμα) τὸ εἶδος τοῦ αἰσθητοῦ IV 5,3,2 (v. ἀήρ) τὸ . . μέχρι τοῦ αἰσθητοῦ (sc. φῶς) IV 5,4,2 (v. ὄψις) τὸ αἰσθητόν, τὸ χρῶμα, ἢ χρῶμα, ἀντιτυποῦν καὶ αὐτὸ εἶναι (sc. ἔδει) 41 εἰ παθεῖν δεῖ τὸ πρὸς τὸ αἰσθητὸν φῶς, κτλ 46.48 (v. τρέπειν); 8,5 (v. αἰσθάνεσθαι,a2). 12 (v. αἴσθησις,a1) τὸν τύπον (q.v.,a) τοῦ αἰσθητοῦ IV 6,1,10 πρῶτος δὲ τῶν ἐν τῷ αἰσθητῷ παντί (sc. λόγος ἐστὶν ἡ ψυχῆς φύσις) IV 6,3,7.16.73 (v. ἐπιβολή) ὥστε . . μηδένα ἡμῶν ὅλου τοῦ αἰσθητοῦ τὴν ἀντίληψιν ἴσχειν IV 7,6,26.29 (v. τὸ ἡγεμονοῦν). 36 (v. αἴσθησις,a1).40 (v. αἷμα); 8,4.8; $8^5$,19 (v. αἰσθητική) νοῦν ὁρῶντα οὐκ αἰσθητόν τι οὐδὲ τῶν θνητῶν τούτων IV 7,10,33 τῇ σπουδῇ ταύτῃ περὶ τὸ αἰσθητὸν τεταμένη (sc. ψυχή) IV 7,13,8 τὸ αἰσθητὸν πᾶν πανταχοῦ ἀτιμάσας IV 8,1,29 ἐν τῷ αἰσθητῷ (sc. κόσμῳ, q.v.,c) 49 εἰς τέλος τὸ αἰσθητὸν ἰούσης IV 8,6,9 (v. ἐξελίττεσθαι) τὸ ἐν αἰσθητῷ κάλλιστον 24 (v. δεῖξις); 7,2.3 ὡς ὅμορον οὖσαν τῇ αἰσθητῇ φύσει (sc. ψυχήν) κτλ 7; 8,4 (v. ψυχή, e5) τὸ ὂν οὐκ ἐν τοῖς αἰσθητοῖς ἐτίθετο (sc. Parmenides) V 1,8,16; 9,17 (v. σφαῖρα,a) τὰ ἐν οὐρανῷ αἰσθητά 26 λέγω δὲ οὐκ ἐπὶ τοῖς αἰσθητοῖς . . ἀλλ' ἐπὶ τοῖς αἰσθητῶν ἔξω V 1,10,7-8 οὐ γὰρ πᾶν, ὃ ἐν ψυχῇ, ἤδη αἰσθητόν, ἀλλὰ ἔρχεται εἰς ἡμᾶς, ὅταν εἰς αἴσθησιν ἴῃ V 1,12,6.17 (v. ἄκουσις) ὥσπερ ἡ αἴσθησις τῶν αἰσθητῶν V 4,2,45 (v. νοῦς,a) V 5,1,16 v. αἴσθησις,a2) οὐδεμίαν φαντασίαν αἰσθητοῦ ἔχων θεάσεται ὅ ἐστιν ἐπέκεινα τοῦ αἰσθητοῦ V 5,6,18-19 τὸ εἶδος (q.v.,a) τὸ τοῦ αἰσθητοῦ, κτλ V 5,7,3-4 πάντα αἰσθητὰ <ἃ> (add. Igal, H-S$^2$) εἶναι ὑπολαμβάνων τὸ μάλιστα πάντων ἀναιρεῖ V 5,11,7 τάχα γὰρ καὶ ἐν τοῖς αἰσθητοῖς ἔστι τὰ μένοντα (sc. τὰ οὐράνια) V 6,6,17 τὴν ἐν αἰσθητῷ (sc. μουσικήν,q.v.) V 8,1,32 ὁ Φειδίας τὸν Δία πρὸς οὐδὲν αἰσθητὸν ποιήσας 39 οὐ μορφὴν αἰσθητὴν οὐδεμίαν ἔχων (sc. θεός) V 8,9,20; 11,39 (v. ἔξω,d) τοῖς αἰσθητοῖς προσβαλόντες πρώτοις V 9,1,2 οὐ γὰρ δὴ ἐν τοῖς αἰσθητοῖς (sc. νοῦς τὰ ὄντα νοήσει), ὥσπερ οἴονται. τὸ γὰρ πρῶτον ἕκαστον οὐ τὸ αἰσθητόν V 9,5,16-17 τὰ . . αἰσθητὰ μεθέξει ἐστὶν ἃ λέγεται 36; 6,14 (v. λόγος, c) αἱ . . ἐπιστῆμαι (q.v.) . . αἱ μὲν τῶν αἰσθητῶν κτλ V 9,7,2.5; 10,1 (v. εἶδος,a) ἆρ' οὖν μόνα τὰ ἐν τῷ αἰσθητῷ ἐκεῖ, ἢ καὶ ἄλλα πλείω; 16 αἰσθητῷ προσχρώμεναι παραδείγματι (sc. τέχναι) V 9,11,4. 13 (v. τέχνη) τῷ δὲ αἰσθητῷ ταῦτα συγκερασάμεναι 16 αἰσθητῷ φυτῷ 18 (v. γεωργία) λοιπὸν δὲ εἰπεῖν, εἰ μόνα τὰ ἐν αἰσθητῷ ἐκεῖ, κτλ V 9,13,1 ὡς ἐν αἰσθητῷ 10 (v. εἴδωλον,b). 13 (v. κόσμος,b) ὥστε, εἰ τὰ ἐν τῷ αἰσθητῷ τὰ ἐν τοῖς ὁρωμένοις λαμβάνοιτο, οὐ μόνον τὰ ἐν τῷ αἰσθητῷ ἐκεῖ, ἀλλὰ καὶ πλείω 15-16; 14,15 (v. σύνθετος) VI 1,1,20-21 (v. νοητά) τῆς αἰσθητῆς (sc. οὐσίας,q.v.,a) VI 1,2,3.5; 6,13.15 (v. ἐπιστήμη); 18,13 (v. αἴσθησις,a2).14-15 (v. αἰσθάνεσθαι,a2) τό τε αἰσθητὸν μετ' ἐκείνου (sc. τοῦ ὑποκειμένου) καὶ ἄλλων πολλῶν τῷ πλήθει μᾶλλον ἂν τὸ ὅλον ὂν εἴη ἢ ἕν τι τῶν ἐν ἐκείνῳ (sc. τῷ αἰσθητῷ) VI 1,28,15 VI 2,1, 33 (v. κόσμος,b); 2,17 (v. ἀρχή,A2j) ἐκ τοῦ αἰσθητοῦ (sc. τόπου) VI 2,4,30 (v. σῶμα,b); 7,13 (v. τὸ εἶναι) οὔτε γὰρ ἐπὶ τῶν αἰσθητῶν ὁμοίως καὶ τῶν νοητῶν (sc. λέγεται τὸ ἕν) — ἀλλὰ γὰρ οὐδὲ τὸ ὄν — οὔτ' ἐπὶ τῶν αἰσθητῶν πρὸς ἄλληλα ὁμοίως VI 2,11,6-7 ἐπειδὴ περὶ τῶν αἰσθητῶν ὁ λόγος ἡμῖν, πᾶν δὲ τὸ αἰσθητὸν τῷδε τῷ κόσμῳ περιείληπται, κτλ VI 3,1,8-9 αἰτεῖ ἔτι ἴσως αἰσθητὸν ἰδεῖν τοῦτο VI 3,6,2 (v. οὐσία,a) τοῦτο τὸ ὄν (q.v.,j) τὸ ἐν τῷ αἰσθητῷ 29; 7.4 (v. ὕλη,c1α) τῆς αἰσθητῆς οὐσίας VI 3,8,2 cf. 4.7.12.19.31; 9,1; 10,12 (v. οὐσία,a) ἡ αἰσθητά VI 3,8,6 (v. γένος,b) αἰσθητὸν ὂν τὸ ὅλον τοῦτο VI 3,10,14 τῆς ἐν τοῖς αἰσθητοῖς οὐσίας 28; 13,6-7, (v. ἀριθμός,f) αἰσθητῆς οὐσίας VI 3,15,25 (v. ποιόν) τὸν αἰσθητὸν Σωκράτη 34 (v. λόγος,c) φωνὴ αἰσθητή VI, 3,16,17 ἐνέργειαι αἰσθηταί 18 αἰσθητὸν ὂν (sc. τὸ καλὸν) 19 ὀργάνοις αἰσθητοῖς 25 (v. τέχνη) οὐσίαν (q.v.,a) . . αἰσθητήν 37 αἰσθητὰ δὲ ταῦτα (sc. τὰ ποιά) ὄντα διὰ τί ἐξ ὧν ποιεῖ (sc. διαιρετέον); VI 3,17,27 ἡ κίνησις (q.v.) ἡ περὶ τὰ αἰσθητά VI 3,23,1 ἡμεῖς δὲ τὸ ὂν ἐν αἰσθητῷ θέμενοι καὶ τὸ πανταχοῦ ἐκεῖ τιθέμεθα καὶ μέγα νομίζοντες τὸ αἰσθητὸν ἀποροῦμεν, πῶς ἐν μεγάλῳ καὶ τοσούτῳ ἐκείνη ἡ φύσις (sc. ἡ νοητή) ἐκτείνεται VI 4,2,27-28; 7,3 (v. τὸ αὐτό) οὐδ' αὖ τοσοῦτον ὅσον τὸ πᾶν αἰσθητόν VI 4,8,29 (v. τὸ ἕν,b); 9,12 (v. δύναμις,Bb) ἄλλως δὲ τὰ αἰσθητὰ τοῖς νοητοῖς πάρεστιν, ὅσα πάρεστιν αὐτῶν καὶ οἷς πάρεισιν, ἄλλως τὰ νοητὰ αὐτοῖς VI 4,11,21 VI 5,8,11-12 (v. ἔλλαμψις); 10,43 (v. κόσμος,b) οὔτε γὰρ τὰ αἰσθητὰ ἄπειρα, κτλ VI 6,2,3 τῆς περὶ τὰ αἰσθητὰ παραλλαγῆς VI 6,4,24 οὐδ' ὅλως τι τῶν αἰσθητῶν (sc. οὕτω καλόν) VI 6, 6,40 (v. δικαιοσύνη); 7,3 (v. χωρίς); 13,29 (v. οὐσία,a).32.34 (v. ἕν,b).37-38 (v. οὐσία,a, ἕν,b); 14,11 ἔφυγε γὰρ ἡ τοῦ αἰσθητοῦ φύσις τὸ ἐκεῖ ἕν, εἴπερ καὶ ἔμελλεν αἰσθητὸν εἶναι VI 6,15, 5-6 τὸ ἓν τὸ ἐν τοῖς αἰσθητοῖς VI 6,16,9.14 οὐκ οὐσία οὐδ' ὡς ἐν αἰσθητοῖς 18 (v. ἀριθμός, a) περὶ αἰσθητοῦ οὐδενὸς ἄρα VI 7,1,25 (v. νοῦς,a).27 (v. νοητός); 3,30 (v. αἰσθητικός); 6,2-3 (v. αἰσθητικός) καὶ συνεζεῦχθαι ταῦτα τὰ αἰσθητὰ τούτῳ (sc. τῷ ἀνθρώπῳ), ἐκεῖνα δ' ἐκείνῳ· ἐκεῖνα γὰρ τὰ αἰσθητά, ἃ οὕτως ὠνομάσαμεν, ὅτι ἀσώματα, ἄλλον δὲ τρόπον

ἐν ἀντιλήψει VI 7,7,23-24 τοῦτο .. τὸ αἰσθητὸν πῦρ VI 7,11,45; 16,25 (v. ἥλιος) αἰσθητόν τι ζητῶν VI 7,29,16 οὐκ αἰσθητὸν .. τύπον VI 7,33,25 cf. 24 (v. ἐραστής) ἐσχάτην .. ἀπόστασιν τῶν αἰσθητῶν ἐχόντων εἰς ψυχὴν ἀνηρτημένων VI 7,42,24 VI 8,14,19 (v. τὰ ὄντα) μέχρις ἂν εἰς αἰσθητὸν ἥκῃ VI 9,3,8 (v. ψυχή, e1a) ἐπαναγαγεῖν ἑαυτὸν ἀπὸ τῶν αἰσθητῶν ἐσχάτων ὄντων 19 νοῦν (q.v.,a) ἰδόντα οἷον αἰσθητόν VI 9,5,13

ὁ κόσμος ὁ αἰσθητός III 2,17,3 III 7,11,27 IV 4,5,26 V 1,4,1 V 3,16,8.9 V 9,13,13 VI 2,1,33 VI 5,10,43 (v. κόσμος,b throughout)

Adv. αἰσθητῶς: οἷον αἰσ. γινώσκεται I 4,10,15 εἰ ταῦτα αἰσ. γίγνοιτο IV 4,8,4 τὸ μὴ αἰσ. παρ' αὐτοῦ κινούμενον IV 4,36,17 τὸ αἰσ. ζῶν (q.v.) κτλ 19-20 τὰ .. αἰσ. ὄντα IV 8,6,26 (v. νοητῶς)

**ἀίσσειν**, *dart, swoop*: ἀΐξασαν πρὸς αὐτό (sc. τὸ ἕν) V 3,17,17 cf. V 5,4,8 πρὸς τὸ ἄνω ἀΐξαντα VI 7,16,2 καὶ οὐδ' ἂν ἔχοι ἀΐξας « ποῦ » εἰπεῖν περὶ αὐτοῦ VI 8,19,8

**αἶσχος**, *shame, disgrace*: ζῶσα ζωὴν τοῦ ὅ τι ἂν πάθῃ διὰ σώματος ὡς ἡδὺ λαβοῦσα αἶσ. κτλ I 6,5,31 ἔστι τοῦτο αἶσ. ψυχῇ μὴ καθαρᾷ μηδὲ εἰλικρινεῖ εἶναι ὥσπερ χρυσῷ, κτλ 50 αἶσ. δὲ ὕλην οὐ κρατηθεῖσαν εἴδει I 8,5,23 κρύψαι τὸ τῆς ὕλης αἶσ. I 8,9,13 κάλλος καὶ αἶσ. (human) III 1,5,55 ἐνθεῖναι ἀρετὴν .. καὶ κάλλος ἐμποιῆσαι ἀντὶ αἴσχους τοῦ πρόσθεν III 6,2,4 οὕτως αἰσχρὰ (sc. ὕλη) ὡς αἶσ. εἶναι III 6,11,27 V 7,2,15 (v. ὕλη,c4) εἴη γὰρ ἂν τοῦτο (sc. τὸ τοῦ φρονίμου πρόσωπον) αἶσ. V 8,2,40 VI 1,10,28 Plur.: αἴσχη καὶ κάλλη II 3,1,8 II 6,2,25 VI 1,10,26 πῶς τὰ κατὰ ἀδυναμίαν καὶ αἴσχη; 60

**αἰσχρός** *ugly, shameful, base*: οὐ γὰρ δὴ ἐξ αἰσχρῶν .. τὸ κάλλος I 6,1,30 πρὸς δὲ τὸ αἰσχρὸν προσβαλοῦσα ἀνίλλεται (sc. ἡ ψυχή) I 6,2,5 πᾶν .. τὸ ἄμορφον πεφυκὸς μορφὴν καὶ εἶδος δέχεσθαι ἄμοιρον ὂν λόγου καὶ εἴδους αἰσχρὸν καὶ ἔξω θείου λόγου · καὶ τὸ πάντῃ αἰσχρὸν τοῦτο. αἰσχρὸν δὲ καὶ τὸ μὴ κρατηθὲν ὑπὸ μορφῆς καὶ λόγου κτλ 15-16 τὰ περὶ ψυχὴν αἰσχρὰ γινόμενα I 6,5,23 τάχα γὰρ ἂν συμβάλλοιτο πρὸς ὃ ζητοῦμεν τὸ αἰσχρὸν ὅ τί ποτέ ἐστι καὶ διότι φανέν· ἔστω δὴ ψυχὴ αἰσχρά, κτλ 24-25 ᾧ δὴ (sc. τῷ εἰς πηλὸν δύντι) τὸ αἰσχρὸν προσθήκη τοῦ ἀλλοτρίου προσῆλθε κτλ 46 αἰσχρὰν δὴ ψυχὴν λέγοντες μίξει κτλ 48 τὸ αἰσχρὸν τὸ παρὰ τῆς ἑτέρας φύσεως ἅπαν ἀπεθήκατο 57 τὰ ὄντα ἡ καλλονή ἐστιν, ἡ δ' ἑτέρα φύσις τὸ αἰσχρόν, τὸ δ' αὐτὸ καὶ πρῶτον κακόν I 6,6,22 cf. 25 ἐπὶ τῆς ὕλης οἷον αἰσχρόν τι πρόσωπον ἰδόντες .. αἰσχρὸν φανταζόμεθα τῇ τοῦ εἴδους ἐλλείψει I 8,9,11-13 οὐ τοίνυν οὐδ' ἡ κακία αὐτὸ τὸ αἰσχρόν I 8,13,9 πῶς δὲ οὐ πάντῃ αἰσχρόν (sc. ἡ ὕλη); II 4,16,24 εἰ μὴ ἄρα αὐτοὶ (sc. Gnostici) φαῖεν μὴ .. διαφόρως αἰσχρὰ καὶ καλὰ ὁρᾶν σώματα · ἀλλ' οὕτως οὐδὲ διαφόρως αἰσχρὰ καὶ καλὰ ἐπιτηδεύματα κτλ II 9,17,22-23.30 (v. σεμνύνεσθαι) αἰσχρὸν εἶναι τἄνδον 41 (v. καλός,a) cf. 43.44 εἰ δ' ἄρα (sc. ἑώρακέ τις καλοὺς ὄντως ὄντας, αἰσχροὺς δὲ τἄνδον, οἶμαι), τὸ αἰσχρὸν αὐτοῖς ἐπίκτητον εἶναι καλοῖς τὴν φύσιν οὖσι 46 δεῖ .. τὰς ἑκάστου καλάς τε καὶ αἰσχρὰς πράξεις παρ' αὐτοῦ ἑκάστου (sc. εἶναι), ἀλλὰ μὴ τῷ παντὶ τὴν γοῦν τῶν αἰσχρῶν ποίησιν ἀνατιθέναι III 1,4,26-27 αἰσχρός (sc. τὸ σῶμα) III 2,6,9 οἷα αἰσχρὰ δρῶσιν (sc. οἱ κακοί) αἰχμαλώτους λαβόντες 16 τὸ σχῆμα (sc. ὑποκριτοῦ) παρ' αὐτοῦ καλὸν ἢ αἰσχρόν III 2,17,42 τελευτᾶν .. εἰς αἰσχροῦ τινος πρᾶξιν III 5,1,14 τὸ .. αἰσχρὸν ἐναντίον καὶ τῇ φύσει καὶ τῷ Θεῷ 19 τὸ .. ἀόριστον αἰσχρόν 23 ἐν αἰσχρῷ γεννᾶν 30 (v. φύσις,a) αἰσχροῦ ἄνευ, κτλ 63 (v. καλός,a) δόξης αἰσχροῦ III 6,3,12 (v. αἰσχύνη) εἰ δὲ οὕτω τις κοσμηθείη ὡς σύμφυτον εἶναι, δεήσει ἀλλοιωθὲν ὃ πρότερον αἰσχρὸν ἦν καὶ ἕτερον γενόμενον ἐκεῖνο τὸ κεκοσμημένον οὕτω καλὸν ἐξ αἰσχροῦ εἶναι. εἰ τοίνυν αἰσχρὰ οὖσα ἡ ὕλη καλὴ ἐγένετο, ὃ ἦν πρότερον τὸ αἰσχρὰ εἶναι οὐκέτ' ἔστιν · ὥστε ἐν τῷ οὕτω κεκοσμῆσθαι ἀπολεῖ τὸ ὕλην εἶναι καὶ μάλιστα, εἰ μὴ κατὰ συμβεβηκὸς αἰσχρά · εἰ δ' οὕτως αἰσχρὰ ὡς αἶσχος εἶναι, οὐδ' ἂν μεταλάβοι κόσμου III 6,11,22-27 αἰσχρὰ εἴδη III 8,7,25 (v. τεχνίτης) τὰ αἰσχρὰ δρῶντες IV 4,31,54 V 8,2,28-31 (v. ποιεῖν,b1).44 (v. ζητεῖν) V 8,13,20-21 (v. καλός,d) V 9,2,15 (v. τὸ ὑποκείμενον).20 (v. καλός,a) τί οὖν, εἰ ὁ μὲν αἰσ., ὁ δὲ αἰσχίων εἴδους τοῦ αὐτοῦ μετουσίᾳ; ἤ, εἰ μὲν παντάπασιν αἰσχροί, ἴσοι εἴδους ἀπουσίᾳ · εἰ δ' ἐν τῷ μὲν τὸ μᾶλλον, τῷ δὲ τὸ ἧττον, μεταλήψει εἴδους οὐ κρατοῦντος ὁ ἧττον αἰσ., ὁ δὲ μᾶλλον ἔτι μᾶλλον οὐ κρατοῦντος · ἢ τῇ στερήσει, εἴ τις βούλοιτο τὴν παραβολὴν ἔχειν, οἷον εἴδους αὐτοῖς ὄντος VI 1,9,16-19; 10,61 (v. λόγος,c); 11,23 (v. ποιός) καλὸν λεγόμενον φανείη ἂν πρὸς ἄλλο αἰσχρόν VI 3,11,23.25 (v. πίθηκος); 16,5 (v. ποιότης) τὸ αἰσχρὸν τὸ περὶ τὴν ψυχὴν (sc. ἄρα τοῖς ἐκεῖ προσνεμητέον ἢ τοῖς τῇδε;) 10 τὰς πράξεις καλὰς ἢ αἰσχράς VI 3,17,10 VI 6,1,27 (v. μέγας,a) cf. 29 (v. μέγας,a) Comp.: VI 1,9,16 (v. supra) διὰ τί .. αἰσχίων ζῶν καλλίων τοῦ ἐν ἀγάλματι καλοῦ; VI 7,22,31

**αἰσχρότης**, *ugliness*: οἷον ἐλλεῖπον τῷ γενναίῳ, οὐ στερηθὲν πίπτει εἰς αἰσχρότητα IV 4,38,22

**αἰσχύνεσθαι** *be ashamed at*: οὐδ' εἰ λογισμὸς εἴη ὁ ποιήσας (sc. τὸν κόσμον), αἰσχυνεῖται τῷ ποιηθέντι III 2,3,6

**αἰσχύνη** *shame*: ἡ .. αἰσ. ἐν ψυχῇ δόξης αἰσχροῦ γενομένης III 6,3,11

**αἰτεῖν** *ask for*: C. acc.: προσθήκην αἰτῶν ἀγαθοῦ πλείονα III 2,14,10 αἰτεῖ ὁ προσαιτῶν οὐχ ἃ ἔχει ὁ διδούς, ἀλλ' ἀγαπᾷ ὅ τι ἂν λάβῃ

III 6,14,12 ὡς μηδενὸς (sc. μέρους τοῦ παντός) ἀλλοτρίου τοῦ αἰτοῦντος ὄντος. εἰ δὲ κακὸς ὁ αἰτῶν, θαυμάζειν οὐ δεῖ IV 4,42,13-14 C. inf.: αἰτεῖ ἔτι ἴσως αἰσθητὸν ἰδεῖν τοῦτο VI 3,6,2 Med.: φιλοῦσι κηλούμενοι, κἂν μὴ τοῦτο αἰτῶνται παρὰ τῶν τῇ μουσικῇ χρωμένων IV 4,40,26

**αἰτία** (see also under αἴτιος) *cause*: a) ψυχὴν .. αἰτίαν γενομένην ἄλλῳ τοῦ τοιούτου I 1,5,4 ἀρχὴν ἐκείνην καὶ αἰτίαν (sc. ὕλην) I 8,4,13 cf. I 8,14,53 II 1,1,3 (v. βούλησις) τῇ ψυχῇ διδόντι τὴν αἰτίαν II 1,2,24 τὴν κυριωτάτην αἰτίαν, τὴν ψυχήν II 1,4,7 αἰτίας τῆς συνεχούσης τὰ πάντα 18; 8,22 (v. σύγκριμα) ἀρχὴν .. καὶ αἰτίαν πρώτην ἐπὶ πάντα ἰοῦσαν II 3,6,20 εἰς ἀρετὴν ἀνακτέον καὶ οὕτω τὴν αἰτίαν II 3,14,10 αἱ νόσοι τὰς αἰτίας ἔχουσιν ἢ καμάτοις κτλ II 9,14,18 τὴν τοῦ παντὸς ἀρχὴν .. διὰ πάντων φοιτήσασαν αἰτίαν III 1,2,19 εἱμαρμένην ταύτην καὶ κυριωτάτην αἰτίαν θέμενοι 21; 8,1 (v. ἀναίτιος) πρωτουργοῦ αἰτίας οὔσης (sc. τῆς ψυχῆς) 8 κοσμικῆς αἰτίας ἔξω 10 γίνεσθαι κατ' αἰτίας μὲν πάντα, διττὰς δὲ ταύτας· καὶ τὰ μὲν ὑπὸ ψυχῆς, τὰ δὲ δι' ἄλλας αἰτίας τὰς κύκλῳ III 1,10,2-3 ἀδικίαι (q.v.) ἔχοιεν μὲν ἂν αἰτίαν ἔφεσιν τοῦ ἀγαθοῦ, κτλ III 2,4,21; 7,40 (v. ἀνάγκη,a) τυγχάνοι ἄν, οἶμαι, τοῦ ἀληθοῦς τῆς αἰτίας III 5,1,19.26; 6,43.44 IV 3,15,21 (v. κατέρχεσθαι) δεῖ γὰρ τήνδε τὴν σύνταξιν .. ἀδήλους .. ἔχειν τὰς αἰτίας καὶ τοῖς οὐκ εἰδόσι παρέχειν μέμψεως αἰτίας IV 3,16,24-25 εἰ οὖν μήτε σωματικαῖς αἰτίαις ἀναθήσομεν μήτε προαιρέσεσιν, ὅσα ἔξωθεν εἰς ἡμᾶς .. ἀφικνεῖται ἐξ οὐρανοῦ, τίς ἂν εἴη λοιπὴ καὶ εὔλογος αἰτία; IV 4,32,1-4 IV 7,12,4 τὴν γένεσιν προσάπτοντας αὐτοῖς (sc. τοῖς ἀεὶ οὖσιν) αἰτίας καὶ τάξεως αὐτοῖς ἀποδώσειν (sc. ἡμᾶς, cj. H-S: ἀποδώσει MSS) V 1,6,21 τοῦ συλλογισμοῦ (q.v.) τῆς αἰτίας V 8,7,40 VI 1,9,8 (v. σχέσις) ἔχον ἐν ἑαυτῷ καὶ τὴν αἰτίαν (sc. τὸ πᾶν) VI 7,1,58 πᾶν ἔχον ἔχει καὶ τὸ καλῶς ὁμοῦ τῆς αἰτίας; VI 7,2,29.35.39 (v. αἰτιατός).40 (v. ἀναιτίως) εἰ οὖν μὴ ἔχει αἰτίαν τοῦ εἶναι, αὐτάρκη δέ ἐστι καὶ μεμονωμένα αἰτίας ἐστίν, εἴη ἂν ἐν αὐτοῖς ἔχοντα σὺν αὐτοῖς τὴν αἰτίαν 41-43; 3,25 (v. αἰσθητικός) VI 8,10,9 (v. τύχη) τὴν αἰτίαν συναπογεννῶσαν ἕκαστον μέρος ἑκάστου εἶναι VI 8,14,24.28 (v. συμφωνία) εἰ οὖν μηδὲν εἰκῇ μηδὲ κατὰ τύχην μηδὲ τὸ «συνέβη γὰρ οὕτως» τῶν ὅσα τὰς αἰτίας ἐν αὐτοῖς ἔχει, κτλ 36 «αἰτίας» καὶ οὐσίας αἰτιώδους «πατὴρ» (sc. τὸ ἕν, cf. Plat. Epist. VI 323d) 37 καθέκαστον αὐτοῦ (sc. τοῦ νοῦ) λόγος καὶ αἰτία VI 8,18,37.39 (v. αἰτιώτατος) πάσας ἔχον τὰς μελλούσας ἀπ' αὐτοῦ ἔσεσθαι νοερὰς αἰτίας 40 ὅστις οἴεται τὰ ὄντα .. σωματικαῖς συνέχεσθαι αἰτίαις VI 9,5,2

b) C. gen.: I 1,5,4 τὴν αἰτίαν τοῦ ζῆν I 1,6,5 I 8,5,1; 14,43 (v. ἔρχεσθαι,a) ἀσθενείας ψυχῇ αἰτία 50 εἰ .. τούτῳ δώσομεν τὴν αἰτίαν τῆς οὐ φθορᾶς II 1,1,15 μένει γὰρ καὶ ἡ τῆς μεταβολῆς αἰτία (sc. τὸ πᾶν) II 1,4,30; 5,21 (v. ψυχή,c1) II 3,2,14 ἢ αἰτίαν λέγοντες (sc. τὴν ψυχήν) τῶν οὕτω γινομένων, ὅτι κτλ II 3,16,13 II 5,5,32 (v. δύναμις,C) II 9,4,4 (v. σφάλλεσθαι); 12,32 (v. κόσμος,b) III 1,7,23 (v. ὁρμή) III 2,5,31 (v. τὸ ἀγαθόν); 15,9 (v. ὕλη, a2α) αἰτίᾳ λόγου (v. ὕλη,a2α) 13 ἀλλ' εἰς τούτους (sc. τοὺς ἀνθρώπους) οὐκ ἐνεργοῦσιν (sc. αἱ κρείττονες ἀρχαί) αἰτίᾳ τίνος, εἴποι τις ἄν, παροῦσαι; III 3,4,18 III 6,13,7; 14,34; 15,27 τῆς αἰτίας τοῦ εἶναι αὐτῷ (sc. τῷ κόσμῳ) τὸ πρότερον παρεχούσης III 7,6,53 IV 3,16,25; 26,54 IV 7,14,5 IV 8,1,37; 3,5 (v. γνώμη) αἰτίᾳ δυνάμεως κτλ (v. κόσμησις) IV 8,5,26 cf. IV 8,6,14 V 1,1,17 (v. συμβαίνειν, a4); 2,43 (v. θεός,a); 11,7 (v. νοῦς,c) V 5,12,30 V 8,6,14; 7,45 (v. ἀρχή,A2b) V 9,2,8 VI 2,6,18 ὕλης αἰτίᾳ VI 6,17,33 VI 7,2,27; 37,23 VI 8,14,21 VI 9,6,54 καθορᾷ .., ἀρχὴν ὄντος, ἀγαθοῦ αἰτίαν VI 9,9,2

c) C. preps: ἄνευ αἰτίας III 1,1,2.3.5 εἰπεῖν αἰτίας δι' ἃς οὕτως II 9,12,28 cf. III 1,10,3 (v. supra,a). III 2,18,2.III 5,1,27.V 8,6,11; 7,36 ἐκ τῶν αἰτιῶν κτλ IV 8,3,5 (v. γνώμη) κατὰ τὴν αὐτὴν αἰτίαν II 8,1,48 ἤτοι κατ' αἰτίας γίνεται τὰ γινόμενα κτλ III 1,1,1.15.25; 4,18.19 (v. ἀναγωγή); 10,2 (v. supra,a) III 3,5,34 IV 3,16,15 μετ' αἰτίας III 1,1,3-6.8 V 1,3,3 (v. ἀναβαίνειν) καλὰ δ' ἐστὶ μετὰ τῆς αἰτίας VI 7,3,9 τὸ καλῶς μετὰ τῆς αἰτίας καὶ ἐν τῇ αἰτίᾳ 21

d) *responsibility, blame, charge*: ἀπηλλαγμένη αἰτίας κακῶν I 1,9,2 (v. ψυχή,e1α) αἰτίαν ἂν ἀφροσύνης ἔχοιεν II 9,1,46 οἱ (sc. θεοί) «ῥηιδίως» αἰτίας, φησίν (auctor ignotus), «ἀποφεύξονται» πρὸς ἀνθρώπων II 9,9,22 ὥστε ἐπὶ τὰ πρῶτα ἡ αἰτία II 9,12,44 (Gnostic) ἄτοπος ἂν εἴη τῆς αἰτίας III 2,3,10 αἰτία ἑλομένου (cf. Plat. Rep. 617e) III 2,7,19 ὁ λόγος ζητεῖ, .. εἰ ἐπὶ τὸν ποιήσαντα, εἴ τις ἐστίν, ἀνενεγκεῖν δεῖ τοῦ ποιοῦ τοῦ ἐν τοῖς ἤθεσιν ἑκάστου τὴν αἰτίαν ἢ ἐπὶ τὸ γενόμενον αὐτό III 3,3,6 (v. ποιός) ἔξω αἰτίας (sc. τὸ πρὸ τοῦ γενομένου) 33 ὥστε κινδυνεύειν τὴν αἰτίαν ἐπὶ τοὺς γενομένους ἰέναι 36 αἰτία ἡ κατὰ τὴν ἐπιτίμησιν III 3,4,3 (v. ἄνθρωπος) οὐκ ἀφείθη αἰτίας ὁ δράσας IV 3,16,19 εἰς τοῦτον (sc. τὸν κόσμον) εἰσιν ἡ αἰτία ἡ τοιαύτη κτλ IV 4,30,27 IV 8,2,33 (v. θεός,a) ἐπὶ τῇ τοῦ κατελθεῖν αἰτίᾳ IV 8,5,17 (v. ἁμαρτία) αἰτίαν εἶχεν (sc. Parmenides) ὡς τοῦ ἑνὸς τοῦτον πολλὰ εὑρισκομένου V 1,8,23 αὐτὸν ἐν αἰτίᾳ τιθέσθω VI 9,4,33

**αἰτιᾶσθαι** a) *assign as cause or as responsible for* C. acc.: εἰ .. τὸ σύμμετρον καὶ ἐπ' αὐτῶν (sc. τῶν καλῶν λόγων κτλ) αἰτιῷντο I 6,1,42 ἀέρος τινὰς ἐξόδους αἰτιῶνται II 7,1,20 cf. 34 IV 5,2,11 (v. ἔνστασις) C. acc. and genit.:

πῶς ἂν ἐλάττωσιν γωνίας τοῦ ἐλάττω φαίνεσθαι τὰ πόρρω αἰτιῷτο; II 8,2,18 εἰ μὴ καὶ τοῦ κακὰς ὅλως αὐτὰς εἶναι τὸ προνοοῦν αἰτιῷτο III 2,7,18 III 5,1,11 (v. Ἔρως) III 6,13, 52 IV 7,5,3 b) *blame* C. acc.: τὴν ἐνταῦθα περὶ γῆν ἀταξίαν .. αἰτιωμένους II 9,5,13; 6, 60 οὐκ ἄν τις εἰκότως .. τὸν αἴτιον τοῦ εἶναι αὐτῷ (sc. τῷ κόσμῳ) αἰτιάσαιτο III 2,3, 3.10.13; 10,2; 14,7 III 3,3,10 VI 1,27,34 δῆμος ἄτακτος, .. ἄλλα ἃ δὴ πάσχει αἰτιώμενος VI 4,15,25 C. ὡς: III 2,11,10 (v. χρῶμα)

**αἰτιατέον** a) *one must assign as cause*: σχέσεις καὶ ἐν τούτοις αἰτ. VI 6,14,30 b) *one must blame*: III 2,5,2 (v. τόπος,a) οὐκ αἰτ. .., ὅτι III 3,3,6 (v. αἰσθάνεσθαι,a3) οὐκ αἰτ. τὸ χεῖρον ἐν τῷ βελτίονα III 3,7,3

**αἰτιατός** *caused, effect*: καὶ ἀπὸ αἰτιατοῦ δὲ τὸ αἴτιον (sc. γινώσκοιτ' ἄν) IV 4,39,20 θαυμάσειεν ἄν τις πῶς συναριθμούμενον (sc. τὸ ἓν τὸ ἐν τῷ νῷ) τοῖς αἰτιατοῖς VI 2,3,12 πρὸς ἄλληλα ὁμοῦ τὴν αἰτίαν καὶ τὸ αἰτιατὸν συνιστάντων VI 7,2,35 ἐν αὐτοῖς ἂν ἔχοι τὰ αἰτιατὰ τὰς αἰτίας 39 τὸ δὲ αἴτιον οὐ ταὐτὸν τῷ αἰτιατῷ VI 9,6,55

**αἰτιολογεῖν** *state the cause*: ὥστε αἰτιολογῶν πάντα λέγεις VI 7,3,13

**αἴτιος** a) *responsible for, causing* C. genit: αἴτιον δὴ τοῦ εὖ ζῆν οὐχ ἡδονὴ (q.v.) κτλ I 4,2,23; 4,19 I 6,7,11 I 8,2,29; 8,27-28; 14,13 (v. ἀσθένεια) II 3,13,43 II 9,8,4 οὐχ ὁ κόσμος αἴτιος τῶν κακῶν II 9,12,36.42 τοὺς ἕτερα σώματα αἴτια τῶν πάντων τιθεμένους III 1,3,30 πρότερος ἐκεῖνος (sc. νοῦς) καὶ αἴτιος τούτου (sc. τοῦ κόσμου) III 2,1,24; 3,3 (v. αἰτιᾶσθαι,b) III 4,5,6 III 5,1,33 III 6,4,44; 6,14 III 8,10,3 τοῖς δυσχεραίνουσιν .. θεοὺς συνέργους καὶ αἰτίους .. ἀτόπων ἔργων IV 4,30,10 IV 5,8,31 ὁ αἴτιος τοῦ καὶ εἶναι καὶ πολὺν εἶναι τοῦτον (sc. τὸν νοῦν) V 1,5,5 V 5,7,4 ζωῆς .. ἔμφρονος .. αἴτιος (sc. ὁ θεός) V 5,10,12 cf. V 5,13,19 αἴτιον τῶν πάντων (sc. τὸ ἀγαθόν) V 5,13,35 V 8,9,42 VI 1,9,9 ὁ ἀριθμὸς αἴτιος προὼν τοῦ τοσαῦτα VI 6,10,13 VI 7,2,17 οὐ μόνον .. τῆς οὐσίας, ἀλλὰ καὶ τοῦ ὁρᾶσθαι αὐτὴν αἴτιος ἐκεῖνος (cf. Plat. Rep. 509b) VI 7,16,23 cf. 25.27.29 VI 7,24,27 τοῦ εἶναι αἴτιος αὐτοῖς VI 7,42,11.15 αἴτιον ἑαυτοῦ (sc. τὸ ἀγαθόν) VI 8,14,41 VI 9,5,12 (v. νοῦς,a) Abs.: ἀλλ' αἴτιον τὸ ἐλλαμπόμενον I 1,12,26 II 7,2,37 εἴτε τῆς τοιαύτης αἰτίας γενομένης σοφίας II 9,10,20 οὐδενὸς ὄντος αἰτίου II 9, 14,29 cf. 30 αὕτη γὰρ (sc. ἡ κίνησις) αἰτία III 7,13,60 V 9,4,6 (v. ἐνέργεια,a) VI 2,20,29 (v. δύναμις,C)

b) τὸ αἴτιον *the cause*, τὰ αἴτια, αἴτιον, αἰτία: I 1,12,26 (v. σκιά) I 4,2,33 (v. ἐνυπάρχειν) τί τὸ αἴτιον ἐν κτλ (v. ἀσθενής); I 8,14,14.25 (v. πτῶμα) καὶ <ὅ> (add.H-S$^3$) τι τὸ αἴτιον τῆς πονηρίας II 3,14,13 II 9,14,31-33 ἐπὶ .. τῶν ἀιδίων τὰ μὲν πρῶτα εἰς ἄλλα αἴτια ἀνάγειν οὐχ οἷόν τε πρῶτα ὄντα III 1,1,9 τὰ ἐπέκεινα αἴτια III 1,2,4 (v. ἀνιέναι,A).30 (v. ἐπιπλοκή) φερομένων δὲ ἐκεῖθεν (sc. ἀπὸ μιᾶς τινος ψυχῆς) τῶν αἰτίων ἀκολούθων (sc. ἄρα) ἀνάγκη τὴν τούτων ἐφεξῆς συνέχειαν καὶ συμπλοκὴν εἱμαρμένην (sc. λέγειν), κτλ; III 1,4,3 cf. 11 πάντων εἰλημμένων τῶν αἰτίων οὐκ ἔστιν ἕκαστον μὴ οὐ γίνεσθαι III 1,7,9 cf. III 1,9,3 III 1,10,7 (v. φρονεῖν) καὶ ταῦτα (sc. τὰ μὴ φρόνιμα) ἴσως ὀρθὸν καθ' εἱμαρμένην λέγειν πράττειν, οἷς γε καὶ δοκεῖ ἔξωθεν τὴν εἱμαρμένην αἴτιον εἶναι 9 ἀνάγκη λέγειν ἐν τῷ ὑποκειμένῳ τὸ αἴτιον (sc. τοῦ κακῶς ζῆν) εἶναι III 3,4,29 III 5,8,12 (v. Ζεύς) cf. 13 III 6,4,47 (v. κινεῖν,b); 5,8 (v. δρᾶμα) τὸ αἴτιον τοῦ μένειν ἐπ' αὐτῆς (sc. τὴν ὕλην) τοῦτο, ὅτι κτλ III 6,15,10 cf. III 7,13,15 III 7,4,32 IV 3,15,16 (v. πλέκεσθαι) IV 4,39,21 (v. αἰτιατός) IV 7,2,21 (v. κρᾶσις) τοῖς πρὸ αὐτῆς (sc. τῆς ὕλης) αἰτίοις IV 8,6,21 (v. γένεσις) V 1,4,29 (v. νοεῖν,a) ἀμφοτέρων οὖν ἅμα αἴτιον ἄλλο 30; 8,4.6 (v. πατήρ,b) αἴτιον δὲ ἡ αἴσθησις (q.v.,a4) κτλ VI 1,28,5 VI 2,3,5 (v. γένος,b) cf. 13.21 (v. ἕν,a) VI 3,3,20 (v. κατηγορεῖν) αἴτιον τοῖς ἄλλοις εἴδεσιν (sc. κίνησις) VI 3,22,15; 28,8 (v. πρός C,a) τὸ αἴτιον τῆς ποιήσεως VI 5,9,4 ᾗ (scr. Igal,H-S$^2$: ἡ MSS) τὸ αἴτιον τὸ πεποιηκὸς καὶ ἐν ἄλλῳ δεῖ εἶναι (sc. τὸ ἀγαθόν) VI 6,10,32 τί οὖν τὸ κύριον αἴτιον; VI 6,14,27 (v. ἕν,b) VI 7,3,18 (v. οὐσία,a). 26 (v. συμπληρωτικός) κἂν ἄλλο φῶμεν αἴτιον, τὸν θεόν, κτλ VI 7,19,19 αἴτιον .. τοῖς ἄλλοις (sc. τὸ ἀγαθόν) VI 7,25,24 cf. VI 9,6,27 αἴτιον δὲ τὸ ἐπιχρῶσαν αὐτὰ (sc. τὰ ἐκεῖ) κτλ VI 7,30,31 VI 8,11,22 (v. ἀπορία,a); 14,29 (v. τὸ εἶναι) αἴτιον δὲ ἐκεῖνο (sc. τὸ ἀγαθόν) τοῦ αἰτίου (sc. τοῦ νοῦ) VI 8,18,38 VI 9,3,49 (v. ἕν,a); 6,54 (v. αἰτιατός) τὸ δὲ πάντων αἴτιον οὐδέν ἐστιν ἐκείνων 55

c) With the sense of αἰτία,d: αὐτοῖς αἴτιοι ('have themselves to blame') I 4,7,45 (v. ἀλόγως) αὐτὸς αἴτιος ἑαυτῷ ὁ μὴ ποιήσας III 3,3,13 — Superl.: μειζόνως ἄρα οἷον αἰτιώτατον καὶ ἀληθέστερον αἰτία (sc. τὸ ἕν) VI 8,18,38

**αἰτιώδης** *causal*: οὐσίας αἰτιώδους «πατήρ» (cf. Plat. Epist. VI 323d) VI 8,14,37

**αἰχμάλωτος** *prisoner*: εἰ αἰχ. ἄγοιτο I 4,7, 31, cf. 33 καὶ πολλοὶ δὴ καὶ ἄμεινον αἰχμάλωτοι γενόμενοι πράξουσι I 4,7,42 III 2,6,16 (v. αἰσχρός) μὴ γὰρ δὴ κατὰ συντυχίαν δοῦλον μηδὲ αἰχμάλωτον ὡς ἔτυχε (sc. οἰηθῇς τινα γενέσθαι) III 2,13,12 αἰχμαλώτου ἀγωγῆς III 2,18,16

**αἰών** *eternity*: διὸ καὶ (sc. ὁ χρόνος) εἰκὼν αἰῶνος εἰκότως λέγεται ἀφανίζειν βουλομένη ἐν τῷ σκιδναμένῳ αὐτῆς τὸ ἐκείνου μένον. ὅθεν κἂν ἀπὸ τοῦ αἰῶνος ἀφέληται τὸ ἐν ἐκείνῳ μεῖναν ἂν καὶ αὐτῆς ποιήσηται, ἀπώλεσεν αὐτό, σῳζόμενον τέως ἐκείνῳ τρόπον τινά, ἀπολόμενον δέ, ἐν αὐτῇ εἰ πᾶν γένοιτο I 5,7,15-17

οὐκ ἄρα ἀριθμητέα χρόνῳ, ἀλλ' αἰῶνι (sc. ἡ ἀρίστη ζωή) · τοῦτο δὲ οὔτε πλέον οὔτε ἔλαττον οὔτε μήκει τινί, ἀλλὰ τὸ τοῦτο καὶ τὸ ἀδιάστατον καὶ τὸ οὐ χρονικὸν εἶναι 22 οὐδὲ [τῷ αἰῶνι] (MSS: del.H-S$^{2}$) τὸν χρόνον (sc. συναπτέον) οὐδὲ τὸ χρονικὸν δὲ ἀεὶ τῷ αἰῶνι οὐδὲ παρεκτατέον τὸ ἀδιάστατον, ἀλλὰ πᾶν ὅλον ληπτέον 25-26 τοῦ αἰῶνος τὴν ζωὴν τὴν οὐκ ἐκ πολλῶν χρόνων, ἀλλὰ τὴν ἐκ παντὸς χρόνου πᾶσαν ὁμοῦ 28 τῶν ὄντων καὶ αἰῶνα, οὐ χρόνον ἐχόντων II 5,3,8 τὸν αἰῶνα καὶ τὸν χρόνον ἕτερον λέγοντες ἑκάτερον εἶναι καὶ τὸν μὲν περὶ τὴν ἀΐδιον εἶναι φύσιν, κτλ III 7,1,1 καὶ πρότερον περὶ τοῦ αἰῶνος ζητεῖν (sc. προσήκει) . . γνωσθέντος γὰρ τοῦ κατὰ τὸ παράδειγμα ἑστῶτος, καὶ τὸ τῆς εἰκόνος αὐτοῦ, ὃν δὴ χρόνον λέγουσιν εἶναι, τάχ' ἂν σαφὲς γένοιτο 17.21 τίνα οὖν ποτε χρὴ φάναι τὸν αἰῶνα εἶναι; ἆρά γε τὴν νοητὴν αὐτὴν οὐσίαν, ὥσπερ ἂν εἴ τις λέγοι τὸν χρόνον τὸν σύμπαντα οὐρανὸν καὶ κόσμον εἶναι; III 7,2,1.5 ὅ τε κόσμος ὁ νοητὸς ὅ τε αἰὼν περιεκτικὰ ἄμφω καὶ τῶν αὐτῶν. ἀλλ' ὅταν τὰ ἕτερα ἐν θατέρῳ λέγωμεν — ἐν τῷ αἰῶνι — κεῖσθαι, καὶ ὅταν τὸ αἰώνιον κατηγορῶμεν αὐτῶν — « ἡ μὲν » γάρ φησι « τοῦ παραδείγματος φύσις ἐτύγχανεν οὖσα αἰώνιος» (cf. Plat. Tim. 37d), — ἄλλο τὸν αἰῶνα πάλιν αὖ λέγομεν, εἶναι μέντοι περὶ ἐκείνην ἢ ἐν ἐκείνῃ ἢ παρεῖναι ἐκείνῃ φαμὲν 9-13 ἥ τε περιοχὴ τῷ μὲν (sc. νοητῷ κόσμῳ) ὡς μερῶν ἔσται, τῷ δὲ αἰῶνι ὁμοῦ τὸ ὅλον οὐχ ὡς μέρος, ἀλλ' ὅτι πάντα τὰ τοιαῦτα οἷα αἰώνια κατ' αὐτόν 18 ἀλλ' ἄρα κατὰ τὴν στάσιν φατέον τὴν ἐκεῖ τὸν αἰῶνα εἶναι, ὥσπερ ἐνταῦθα τὸν χρόνον κατὰ τὴν κίνησίν φασιν; ἀλλ' εἰκότως ἄν τις τὸν αἰῶνα (cj. Fic.: χρόνον MSS) ζητήσειε πότερα ταὐτὸν τῇ στάσει λέγοντες ἢ οὐχ ἁπλῶς, ἀλλὰ τῇ στάσει τῇ περὶ τὴν οὐσίαν. εἰ μὲν γὰρ τῇ στάσει ταὐτόν, πρῶτον μὲν οὐκ ἐροῦμεν αἰώνιον τὴν στάσιν, ὥσπερ οὐδὲ τὸν αἰῶνα αἰώνιον · τὸ γὰρ αἰώνιον τὸ μετέχον αἰῶνος 20-26 εἰ δὲ τῇ τῆς οὐσίας στάσει (sc. ταὐτὸν ὁ αἰών), ἔξω πάλιν αὖ τὰ ἄλλα γένη τοῦ αἰῶνος ποιήσομεν. εἶτα τὸν αἰῶνα οὐ μόνον ἐν στάσει δεῖ νοεῖν, ἀλλὰ καὶ ἐν ἑνί · εἶτα καὶ ἀδιάστατον, ἵνα μὴ ταὐτὸν ᾖ χρόνῳ 31 εἶτα τοῦ μὲν αἰῶνος κατηγοροῦμεν τὸ « μένειν ἐν ἑνί » (cf. Plat. Tim. 37d) · μετέχοι ἂν οὖν στάσεως, ἀλλ' οὐκ αὐτοστάσις εἴη 35 τί ἡ ἀιδιότης, εἴτε ταὐτὸν καὶ ἡ αὐτὴ τῷ αἰῶνι, εἴτε κατ' αὐτὴν ὁ αἰών; ἆρά γε (cj. Kirchhoff, H-S$^{2}$: γὰρ MSS) καθ' ἕν τι δεῖ (sc. τὸν αἰῶνα εἶναι), ἀλλὰ ἐκ πολλῶν συνηθροισμένην τινὰ νόησιν, ἢ καὶ φύσιν εἴτ' ἐπακολουθοῦσαν τοῖς ἐκεῖ εἴτε συνοῦσαν κτλ; III 7,3,3 ταῦτα πάντα ἰδὼν αἰῶνα εἶδεν ἰδὼν ζωὴν μένουσαν ἐν τῷ αὐτῷ ἀεὶ παρὸν τὸ πᾶν ἔχουσαν, κτλ 16 ὥστε εἶναι τὸν αἰῶνα οὐ τὸ ὑποκείμενον, ἀλλὰ τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου οἷον ἐκλάμπον κατὰ τὴν [τοῦ] (del. Kirchhoff) ἣν ἐπαγγέλλεται περὶ τοῦ μὴ μέλλοντος, ἀλλὰ ἤδη ὄντος ταυτότητα, ὡς ἄρα οὕτως καὶ οὐκ ἄλλως 24 ὃ οὖν μήτε ἦν, μήτε ἔσται, ἀλλ' ἔστι μόνον, τοῦτο ἑστὼς ἔχον τὸ εἶναι τῷ μὴ μεταβάλλειν εἰς τὸ ἔσται μηδ' αὖ μεταβεβληκέναι ἐστὶν ὁ αἰών · γίνεται τοίνυν ἡ περὶ τὸ ὂν ἐν τῷ εἶναι ζωὴ ὁμοῦ πᾶσα καὶ πλήρης ἀδιάστατος πανταχῇ τοῦτο, ὃ δὴ ζητοῦμεν, αἰών. οὐκ ἔξωθεν δὲ δεῖ συμβεβηκέναι νομίζειν τοῦτον ἐκείνῃ τῇ φύσει, ἀλλ' ἐκείνη καὶ ἐξ ἐκείνης καὶ σὺν ἐκείνῃ 36-38 αὕτη ἡ διάθεσις αὐτοῦ (sc. τοῦ παντὸς καὶ ὅλου ὄντος) καὶ φύσις εἴη ἂν αἰών · αἰὼν γὰρ ἀπὸ τοῦ ἀεὶ ὄντος III 7,4,42 τί οὖν, εἰ μηδὲ ἀφίσταιτό τις αὐτοῦ τῆς θέας, . .; ἢ δραμὼν καὶ αὐτὸς εἰς αἰῶνα ἔσται καὶ οὐκ ἀποκλίνων οὐδαμῇ, ἵν' ᾖ ὅμοιος καὶ αἰώνιος, τῷ ἐν αὐτῷ αἰωνίῳ τὸν αἰῶνα καὶ τὸ αἰώνιον θεώμενος III 7,5,10-11 αἰών (opp. ἀιδιότης, q.v.) 17 ὅθεν σεμνὸν (cf. III 7,2,5) ὁ αἰών, καὶ ταὐτὸν τῷ θεῷ ἡ ἔννοια λέγει · . . καὶ καλῶς ἂν λέγοιτο ὁ αἰὼν θεὸς ἐμφαίνων καὶ προφαίνων ἑαυτὸν οἷός ἐστι, τὸ εἶναι ὡς ἀτρεμὲς καὶ ταὐτὸν καὶ οὕτως καὶ τὸ βεβαίως ἐν ζωῇ. εἰ δ' ἐκ πολλῶν λέγομεν αὐτόν, οὐ δεῖ θαυμάζειν, κτλ 18-20 καὶ εἴ τις οὕτω τὸν αἰῶνα λέγοι ζωὴν ἄπειρον ἤδη τῷ πᾶσαν εἶναι καὶ μηδὲν ἀναλίσκειν αὐτῆς τῷ μὴ παρεληλυθέναι μηδ' αὖ μέλλειν — ἤδη γὰρ ('for in that case') οὐκ ἂν εἴη πᾶσα — ἐγγὺς ἂν εἴη τοῦ ὁρίζεσθαι 25 ἐπειδὴ δὲ ἡ τοιαύτη φύσις οὕτω παγκάλη καὶ ἀΐδιος περὶ τὸ ἓν . . εἴρηταί τε, ὡς ἐγὼ οἶμαι, τοῦτο τῷ Πλάτωνι καλῶς καὶ βαθείᾳ τῇ γνώμῃ καὶ οὐκ ἄλλως, τοῦτο δὴ τὸ « μένοντος αἰῶνος ἐν ἑνί » (cf. Plat. Tim. 37d), ἵνα μὴ μόνον ᾖ αὐτὸς αὑτὸν εἰς ἓν πρὸς ἑαυτὸν ἄγων, ἀλλ' ᾖ περὶ τὸ ἓν τοῦ ὄντος ζωὴ ὡσαύτως, τοῦτο ὃ δὴ ζητοῦμεν · [καὶ τὸ οὕτω μένον αἰὼν εἶναι.] (del. Theiler, H-S$^{3}$) τὸ γὰρ τοῦτο καὶ οὕτω μένον . . καὶ οὔτε τὸ εἶναι οὔτε τὸ ζῆν ψευδομένη ἔχοι ἂν τὸ αἰὼν εἶναι III 7,6,6-12 πάλιν αὖ ἥκει ἡμῖν τοῦτο, ὃ δὴ λέγομεν, ὁ αἰών 21 μέμφεται (sc. Plato, Tim. 37e) ὕστερον καὶ τούτῳ τῷ ὀνόματι (i.e. ἦν in « ἀγαθὸς ἦν ») ὡς οὐδ' αὐτοῦ ὀρθῶς πάντη λεγομένου ἐπὶ τῶν τὸν λεγόμενον καὶ νοούμενον αἰῶνα εἰληχότων 57 δεῖ ἄρα καὶ ἡμῖν μετεῖναι τοῦ αἰῶνος. ἀλλὰ ἐν χρόνῳ οὖσι πῶς; ἀλλὰ πῶς ἐν χρόνῳ καὶ πῶς ἐν αἰῶνι ἔστιν εἶναι, γνωσθείη ἂν εὑρεθέντος πρότερον τοῦ χρόνου III 7,7,5-6 cf. 8 τῷ αἰῶνι ἐξ ἀρχῆς συνειράντας τὸ ἐφεξῆς (sc. τὸν χρόνον) 12 τὴν διάθεσιν ἣν ἐπὶ τοῦ αἰῶνος ἐλέγομεν εἶναι, τὴν ἀτρεμῆ ἐκείνην καὶ ὁμοῦ πᾶσαν καὶ ἄπειρον ἤδη ζωὴν κτλ III 7,11,2 αἰῶνος εἰκόνα τὸν χρόνον εἰργάσμεθα 20.30 (v. χρόνος,b1) cf. 45. 47 δεῖ δὲ οὐκ ἔξωθεν τῆς ψυχῆς λαμβάνειν τὸν χρόνον, ὥσπερ οὐδὲ τὸν αἰῶνα ἐκεῖ ἔξω τοῦ ὄντος III 7,11,60 cf. 62 εἰ οὖν ὑποθοίμεθα . . ἐπιστραφὲν καὶ τοῦτο τὸ μέρος τῆς ψυχῆς πρὸς τὸ ἐκεῖ καὶ τὸν αἰῶνα καὶ ἐν ἡσυχίᾳ

*μένον, τί ἂν ἔτι μετὰ αἰῶνα εἴη;* III 7,12,11 *κἂν στῇ* (sc. *ἡ σφαῖρα*), *ἐκείνης* (sc. *τῆς ψυχῆς*) *ἐνεργούσης, ὅση ἡ στάσις αὐτῆς μετρήσομεν, ἕως ἐκείνη* (sc. *ἡ ψυχή*) *τοῦ αἰῶνός ἐστιν ἔξω* 19 *ἅμα οὐρανῷ φησι* (cf. Plat. Tim. 38b,37d) *γεγονέναι* (sc. *τὸν χρόνον*) *κατὰ* (cj. Kirchhoff, H-S²: *καὶ* MSS) *παράδειγμα αἰῶνος καὶ εἰκόνα κινητήν* III 7,13,24 *τὸ πρὸ ταύτης* (sc. *τῆς κινήσεως τῆς ψυχῆς*) *ἐστὶν αἰὼν οὐ συμπαραθέων οὐδὲ συμπαρατείνων αὐτῇ* 44 *διὸ οὐ διασπασθήσεται ὁ χρόνος· ἐπεὶ οὐδ' ὁ αἰὼν ὁ κατ' ἄλλο ἐν τοῖς ὁμοειδέσι πᾶσιν* 68 IV 1,6 (v. *ψυχή*, d1a) *αἰὼν περὶ τὸ ὂν* IV 3,25,15 *ἐν αἰῶνι, ἀλλ' οὐκ ἐν χρόνῳ ὄντων τῶν ἐκεῖ* IV 4,1,12 *αἰὼν μὲν περὶ νοῦν, χρόνος δὲ περὶ ψυχήν* IV 4,15,2 *ἐν μὲν τῷ αἰῶνι τὴν ταυτότητα, ἐν δὲ τῷ χρόνῳ τὴν ἑτερότητα τίθεσθαι* (sc. *δεῖ*), *ἢ ταὐτὸν αἰὼν ἔσται καὶ χρόνος* 8-9.15 (v. *χρόνος*,b1) *ἐν αἰῶνι πάντα* (sc. *τῷ νῷ*) *καὶ ὁ ὄντως αἰών, ὃν μιμεῖται χρόνος περιθέων ψυχήν, τὰ μὲν παριείς, τοῖς δὲ ἐπιβάλλων* V 1,4,17-18 *ἀντὶ δὲ χρόνου αἰών* (sc. *ἐκεῖ*) V 9,10,9 *γενομένων δὲ πάντων ἀεὶ καὶ μενόντων καὶ ἐν τῷ εἶναι αἰῶνι περιληφθέντων* (sc. *ἐν τῷ νῷ*) *κτλ* VI 2,21,54 *τοῦ δ' αἰῶνος ἐν τῷ αὐτῷ μένοντος καὶ κρατοῦντος καὶ πλείονος ὄντος δυνάμει ἀιδίῳ τοῦ ἐπὶ πολλὰ δοκοῦντος ἰέναι χρόνου* VI 5,11,16 *ἕστηκε δὲ ἐν αἰῶνι τὰ ὄντα* VI 6,18,36 *εἰ καὶ πρὶν αἰῶνα εἶναι ὅπερ ἐστὶν ἦν* (sc. *τὸ ἕν*) *κτλ* (v. *ποιεῖν*,a) VI 8,20,25

**αἰώνιος** *eternal*: *τῷ αἰωνίῳ* (cj. Kirchhoff: *αἰῶνι*,q.v.,MSS) I 5,7,26 III 7,2,11.13.19.25.26 (v. *αἰών*).27 (v. *κίνησις*,d); 3,2 (v. *ἀίδιος*); 5,11 (v. *αἰών*) *αἰώνιον καὶ ἀεὶ ὂν* 12

**αἰωρεῖσθαι** *be lifted, be swung*: *σκεπτέον.. πότερον.. καὶ ἔστι τοῖς ἄλλοις* (sc. *στοιχείοις*) *αἰ. καὶ μετεωρίζεσθαι ὑπὸ τοῦ κρατοῦντος* (sc. *πυρός*) II 1,4,6 *ἀστάτῳ τῇ φορᾷ πανταχοῦ αἰωρούμενος ταῖς πλάναις* (sc. *ὁ ἄδικος*) *κτλ* IV 3,24,13 *κάτω.. καὶ ἄνω αἰωρούμενον* (sc. *τὸ συναμφότερον*) *κτλ* IV 4,18,34 *τὸ δὲ ὂν δεῖ οὐκ ἐν ἀορίστῳ οἷον αἰωρεῖσθαι* (cj. Heintz: *θεωρεῖσθαι* MSS) V 1,7,24 *τοῦ αἰωρουμένου.. σώματος* VI 4,7,14 *αἰ. ἐκεῖσε καὶ δεῦρο* VI 6,3,24 (v. *κίνησις*,i)

**Ἀκαδημία** *Academy*: VI 1,14,1.2 (v. *τόπος*) *τὸ.. ἐν Ἀκαδημίᾳ* VI 1,30,13

**ἀκαθαρσία** *uncleanness*: *εἰ πρὸ τῆς ἀκαθαρσίας ἀγαθὸν ἦν, ἡ κάθαρσις ἀρκεῖ* I 2,4,7

**ἀκάθαρτος** *unclean*: *ἀκάθαρτον* (sc. *ψυχήν*) I 6,5,33 cf. 39

**ἄκακος** *innocent*: *τὸ τῆς ψυχῆς ἄκακον* III 5,8,16 (v. *Ἀφροδίτη*)

**ἀκαλλής** *not beautiful, ugly*: *τἀκαλλὲς* (cj. Igal,H-S²: *τὸ κάλλος* MSS).. *δύναμιν ἔχει τινός* VI 1,10,47

**ἀκάματος** *unwearied*: *φύσιν* (q.v.,b4) *ἀκάματον καὶ ἄτρυτον* VI 5,12,8

**ἀκαρής** *too short to be cut*: *ἐν ἀκαρεῖ* ('in an instant') *θεᾶται* V 5,7,25 (v. *ὀφθαλμός*)

**ἀκαταμάθητος** *unlearned, without knowledge of*: *δεῖ οὖν* (sc. *τὸ ἀγαθόν*), *εἰ καταμανθάνει αὐτό, ἀκαταμάθητον τετυχηκέναι εἶναι αὐτοῦ καὶ τῇ αὐτοῦ φύσει ἐλλιπὲς εἶναι, κτλ* III 9,9,20

**ἀκεῖσθαι** *heal*: *ζήτησιν τοῦ ἀκεσομένου ποιουμένην* (sc. *τὴν φύσιν*) IV 4,20,31

**ἀκέραιος** *unmixed, pure*: *ἀκέραιον τὸ τέλος τηρητέον* I 4,6,32 *τὸ δ' ὅσον αὐτῆς* (sc. *τῆς τοῦ παντὸς ψυχῆς*) *πρὸς τὸ θεῖον τὸ ὑπεράνω ἀκέραιον μένει* II 9,7,16 VI 2,20,9 (v. *ἐπιστήμη*,a)

**ἀκήρατος** *pure*: *μάλιστα δὲ αὐτοὶ* (sc. Gnostici) *καὶ ἄλλως ποιοῦσιν οὐκ ἀκήρατα τὰ ἐκεῖ* II 9,14,1 *ψυχὴν θειοτάτην.. εὐθὺς ἐξ αὐτοῦ* (sc. *τοῦ νοῦ*) *ἀκήρατον ἀκηράτου* III 5,2,21 *μόνον ἐκεῖ ἔστω* (sc. *ὁ χωριστὸς Ἔρως*), *οὗ ἡ ψυχὴ ἡ ἀ.* III 5,3,27 *τὸν ἀκήρατον νοῦν* V 1,4,8

**ἀκήρυκτος** *truceless*: III 2,15,16 (v. *πόλεμος*)

**ἀκίνδυνος** *not in danger of*, c. infin. *ἱκανὸν σῶμα καὶ ἀκίνδυνον παθεῖν* IV 3,17,29 (v. *ζῷον*,a)

**ἀκινησία** *absence of motion*: *ἔδει δὲ κίνησιν ἐξ ἀκινησίας εἶναι* III 2,4,14

**ἀκίνητος** *unmoved*: *αὐτὰς δὲ* (sc. *τὰς τῆς ψυχῆς δυνάμεις*) *ἀκινήτους εἶναι* (sc. *βέλτιον εἰπεῖν*) *χορηγούσας τὸ δύνασθαι τοῖς ἔχουσιν* I 1,6,3 *ζωὴ.. ἐκεῖ.. ἀ.* III 2,4,13 III 8,2,18 (v. *φύσις*,a).19-21 (v. *λόγος*,c) *τὸν νοῦν κατὰ κύκλον ἀκίνητον.. ἂν τάξειε* IV 4,16,24; 26,9 (v. *σῶμα*,a) *ἀκινήτου ὄντος* (sc. *τοῦ ἑνός*) V 1,6,25 *καὶ ἀκίνητον δὲ λέγει* (sc. Parmenides) *τοῦτο — καίτοι προστιθεὶς τὸ νοεῖν* V 1,8,18 VI 3,27,10 (v. *ἠρεμία*) *τὴν οὐσίαν.., ἀκίνητον εἰς μεταβολήν* VI 6,18,32

**ἀκλινής** *unswerving*: *νοῦν.. ἀκλινῆ πανταχῇ* II 9,2,3 *ζωὴν.. ἀκλινῆ πάντη* III 7,11,4 *τὸ ἀκλινὲς ὂν ἑαυτοῦ* (i.e. *τὸ ὄν*) VI 8,9,33

**ἀκμή** *prime*: *μαζῶν αὐξήσεις, ἀκμαί* ('maturity'), *γενέσεις ἄλλων* IV 4,11,20

**ἀκοή** *hearing, ear*: *ἔστι δ' ἐν ἀκοαῖς* (sc. *τὸ καλόν*) I 6,1,1 *τί.. τὸ πεποιηκὸς.. τὴν ἀκοὴν ἐπινεύειν ταῖς φωναῖς, ὡς καλαί;* 8 II 4,12,29 *εἶδος γὰρ κἀκεῖ* (sc. *ἐν ταῖς φωναῖς*) *ἡ ἀ. ζητεῖ, τὸ δὲ μέγεθος κατὰ συμβεβηκὸς αἰσθάνεται* II 8,1,19 cf. 20.23 IV 5,1,16 *τὸν μέχρι ἀκοῆς ἀέρα* (q.v.) IV 5,5,3 *μέχρις ὤτων καὶ ἀκοῆς* 14 *συναισθήσεώς τινος ὡς ἐν ζῴῳ καὶ τοῦ κατὰ τὴν ἀκοὴν πάθους ὄντος* 30 IV 6,2,10 (v. *τύπος*,a) *καὶ εἰ τὸ μὲν δι' ὀμμάτων* (sc. *εἴσεισι*), *τὸ δὲ δι' ἀκοῆς, ἕν τι δεῖ εἶναι, εἰς ὃ ἄμφω* IV 7,6,9 VI 1,12,4 *ἀκοαῖς.. φωνάς* (sc. *διαιρεῖν*) VI 3,17,6 VI 4,6,16 (v. *λογισμός*); 12,17 (v. *ἀήρ*); 14,28 (v. *φωνή*) *ἔστωσαν δὲ* (sc. *ἐκεῖ*) *καὶ ὅσα ἀκοαὶ ἀκούουσι, πάντα μέλη καὶ ῥυθμὸς πᾶς* VI 7,12,29

**ἀκολασία** *licentiousness*: I 8,4,10 *ὥσπερ ἐκ τῆς τῶν ἀνθρώπων ἀκολασίας αὐτοὺς ἐμπιμ-*

πλάντας (sc. τούτους τοὺς ἀστέρας) ὧν πρὸς ἀλλήλους δέονται II 3,6,2 τοῦ ἐν παισὶ καὶ γυναιξὶ (sc. κάλλους) καταφρονοῦντες, ὡς μὴ εἰς ἀκολασίαν ἡττᾶσθαι II 9,17,29 τὴν λεγομένην ἀκολασίαν III 6,2 61 (v. τὸ ἐπιθυμοῦν)

**ἀκόλαστος** *licentious*: τὰς τῶν ἀκολάστων .. ἡδονάς I 4,12,2 ἔστω δὴ ψυχὴ αἰσχρά, ἀ. τε κτλ I 6,5,26 ἀκολάστους (sc. ποιεῖν) II 3,6,9 III 3,5,43 (v. καλός,d) cf. 45.46 (v. πρόνοια) ὅσοι δὲ μετ' ἐπιθυμίας καὶ τῆς ἡδονῆς τοῦ ἐπιθυμοῦντος (sc. ἔζησαν), τὰ ἀκόλαστα τῶν ζῴων καὶ γαστρίμαργα (sc. γίγνονται) III 4,2,20 III 6,2,28 (v. τὸ ἐπιθυμοῦν) ἀκολάστους συλλήψεις (q.v.) IV 4,30,12 Adv. ἀκολάστως: εἰ .. τις .. ἄρχοι εἰς ἄλλον ἀ. VI 1,21,6

**ἀκολουθεῖν** a) *follow*: ἐστί τι (sc. ἡ ὕλη) .. ἑλκόμενον εἰς πάντα καὶ ἀκολουθοῦν ὡς δόξαι καὶ αὖ οὐκ ἀκολουθοῦν III 6,15,31-32 κἀκεῖ ἀκολουθεῖ (sc. ἡ ψυχή), οὗ πέφυκε τοῦτο (sc. τὸ σῶμα) εἶναι καὶ γίνεσθαι IV 3,24,5 b) *be consequent upon, guided by, consistent with*, abs. or c. dat.: I 2,7,1 (v. ἀντακολουθεῖν) καὶ τὰ ἄλλα (sc. virtues) ὡσαύτως ἀκολουθεῖ κτλ (v. κάθαρσις) 8 II 3,14,18 III 1,5,11 (v. τόπος,a) ἀκολουθοῦσι δὲ καὶ αὗται (sc. αἱ συντυχίαι) συμφώνως τοῖς πρὸ αὐτῶν III 3,2,1 IV 4,12,38 (v. λόγος,c); 24,37 VI 5,2,9 (v. τὸ μεταξύ) πάντα ἠκολούθησε (sc. τῇ σοφίᾳ) V 8,4,46 ὥστε ἑνὸς ὁτουοῦν προφαινομένου .. ἀ. εὐθὺς καὶ τὴν ἡλίου .. φαντασίαν V 8,9,4 ἀκολουθεῖ δὲ τὸ ὅλον VI 5,6,6 (v. μέρος,b) VI 8,2,14 C. acc. and infin. *it follows that*: ἀ. ἔδοξε καὶ τὰ ἄστρα (q.v.) ποιεῖν κτλ II 1,6,4 ἴσως γὰρ ἀκολουθήσει ἀεὶ ἐν σώματι πᾶσαν εἶναι IV 3,4,4

**ἀκολουθία** *sequence (logical or physical)*: τοῦ ἀκολούθου θεωρίαν ποιουμένους ὡς ἐξ ἀκολουθίας τὰ ὄντα θεωμένους I 8,2,13 τίς οὖν ἄλλη αἰτία .. ἀκολουθίαν τηρήσει καὶ τάξιν κτλ; III 1,8,2 συμπαραλαμβανομένων εἰς τὴν ἀκολουθίαν καὶ τῶν ὅσαι εἰσὶν ἀρχαί III 2,10,17 φυσικαῖς ἀνάγκαις .. καὶ ἀκολουθίαις III 2,11,2 καὶ ἴασιν ἀκολουθίᾳ (cj. Kirchhoff, H-S$^2$: ἀκολουθίαι most MSS) ἐμπλεκεῖσαι III 3,2,2 κατ' αἰτίας γίγνεσθαι .. καὶ φυσικὰς ἀκολουθίας IV 3,16,16 IV 9,5,23 (v. ἐπάγειν) οὐ γὰρ ἐξ ἀκολουθίας (sc. τὰ ἐκεῖ) .. ἀλλὰ πρὸ ἀκολουθίας V 8,7,41-42

Plur.: I 4,5,1-3; 9,1 (v. βαπτίζεσθαι) οὐκ ἄπειρος νόσων I 4,14,21 II 3,1,8 II 9,14,11.14 (v. δαιμόνιον) τοὺς μέντοι εὖ φρονοῦντας οὐκ ἂν πείθοιεν, ὡς οὐχ αἱ νόσοι τὰς αἰτίας ἔχουσιν ἢ καμάτοις ἢ πλησμοναῖς ἢ κτλ 18 III 2,5,6 (v. ἀγαθός,a).13 IV 3,16,4 IV 4,43,9 (v. θάνατος)

**νουθέτησις** *warning*: περὶ οὐδενὸς γὰρ φοβήσεται (sc. ἡ ψυχή) .. πλήν γ' ἐν νουθετήσει I 2,5,16

**νοῦς** *mind, reason, intellect*: a) of νοῦς in general, and in particular as the second ὑπόστασις. b) passages dealing with the relation of ψυχή to νοῦς. c) νοῦς in relation to τὸ πρῶτον. d) used of *mind, common sense, understanding*, without any particular philosophical implication.

a) of νοῦς in general, and in particular as the second ὑπόστασις: πρὸς δὲ τὸν νοῦν πῶς (sc. ἡμεῖς); νοῦν δὲ λέγω οὐχ ἣν ἡ ψυχὴ ἔχει ἕξιν οὖσαν τῶν παρὰ τοῦ νοῦ, ἀλλ' αὐτὸν τὸν νοῦν I 1,8,1-3 cf. ἐν δὲ νῷ « ὁμοῦ » τὰ « πάντα » (cf. Anaxagoras frg. B1) 8 I 1,9,12 (v. ἐφάπτεσθαι,b) τοῦ ἐν τῷ νῷ νοητοῦ 14 ὅταν ν. ἐνεργῇ εἰς ἡμᾶς· μέρος γὰρ καὶ οὗτος ἡμῶν κτλ I 1,13, 7 I 2,3,31 (v. ἀρετή,g); 4,25 (v. ἀλλότριος) νῷ (MSS,but v. ᾧ s.v. συνοικίζεσθαι) I 2,6,9.13 (v. θεωρία, ἐπαφή) διττὴ δὲ ἑκατέρα (sc. σοφία καὶ φρόνησις), ἡ μὲν ἐν νῷ οὖσα, ἡ δὲ ἐν ψυχῇ. κἀκεῖ μὲν οὐκ ἀρετή, ἐν δὲ ψυχῇ ἀρετή 14; 7,2 (v. ἀρετή,h) I 3,2,13 (v. ἀναβαίνειν) ν. δίδωσιν ἐναργεῖς ἀρχάς (sc. τῇ διαλεκτικῇ), εἴ τις λαβεῖν δύναιτο ψυχῇ I 3,5,2 ἕως εἰς τέλεον νοῦν ἥκῃ (sc. ἡ διαλεκτική). ἔστι γάρ, φησιν, αὕτη « τὸ καθαρώτατον νοῦ καὶ φρονήσεως » (cf. Plat. Phileb. 58d) 4-5 I 4,2,25 (v. τὸ κρῖνον) νοῦν ἀληθινόν I 4,4,7 τὸν ἐν αὐτῷ νοῦν οὐκ ἔχον 35 (v. λυπεῖν) αὐτὸς δὲ ὁ ν. διὰ τί οὐκ ἐνεργήσει κτλ; I 4,10,3.14 (v. εἰκόνισμα).16.18 (v. νοεῖν,a) μετὰ τοῦ νοῦν ἔχειν I 4,15,25 (v. φίλος); 16,1 (v. αἱρεῖν,a) I 6,1,53 (v. μονοῦσθαι) τὸν θεοειδῆ νοῦν I 6,5,16 (v. ἐπιλάμπειν); 8,14 (v. καταδύνειν); 9,34 (v. ἀναβαίνειν).37 (v. γέννημα) ν. . . καὶ ψυχὴ εἴδη ὄντα κτλ (v. εἶδος,c) I 8,1, 9 νοῦ ἐκείνου ὄντος οὐ κατὰ νοῦν, ὃν οἰηθείη ἄν τις κατὰ τοὺς παρ' ἡμῖν λεγομένους ν. εἶναι τοὺς ἐκ προτάσεων συμπληρουμένους .. καίτοι ν. ὄντας. οὐ δὴ ἐκεῖνος ὁ ν. τοιοῦτος, ἀλλ' ἔχει πάντα καὶ ἔστι πάντα καὶ σύνεστιν αὐτῷ συνὼν καὶ ἔχει πάντα οὐκ ἔχων. οὐ γὰρ ἄλλα, ὁ δὲ ἄλλος I 8,2,9-15; 7,5 (v. ἀνάγκη,a); 9,2 (v. ἀρετή,k) διὸ καὶ ν. ἄλλος οὗτος, οὐ ν., τολμήσας ἰδεῖν τὰ μὴ αὐτοῦ (sc. τὴν ὕλην) 18 ν., εἴσω αὐτοῦ τὸ αὐτοῦ καταλιπὼν φῶς καὶ οἷον ἔξω αὐτοῦ προελθὼν εἰς τὰ μὴ αὐτοῦ ἐλθών, .. ἔπαθε τοὐναντίον ἢ ἔστιν, ἵν' ἴδῃ τὸ αὐτῷ ἐναντίον 23 ἡ δὲ πρὸς νοῦν ὄρεξις ἄλλο I 8,15,21

νοῦν μιμεῖται (sc. ἡ κύκλῳ κίνησις) II 2,1,1 ὁ δὲ ν. οὕτω κινεῖται· ἕστηκε γὰρ καὶ κινεῖται· περὶ αὐτὸν (sc. τὸν θεόν) γάρ II 2,3,20 II 3,11, 8-9 (v. πανουργία) ν. δημιουργός II 3,18,15. 20 (v. λόγος,c) ὁ ν. λόγος (q.v.,c) II 4,5,8; 7,4 (v. Ἀναξαγόρας) τί ἔδει .. τὸν νοῦν διὰ πραγμάτων ἀνηνύτων διακρίνειν (sc. τὰ εἴδη) κτλ; 10 τὸ μὴ οἷόν τε ἄνευ νοῦ ἕκαστα καὶ ψυχῆς 23; 12,33 ν. γὰρ οὐκ ἐκ δυνάμεως τῆς κατὰ τὸ οἷόν τε νοεῖν εἰς ἐνέργειαν τοῦ νοεῖν .. ἀλλ' ἐν αὐτῷ τὸ πᾶν II 5,3,25.40 (v. τόπος,b) ὁ γὰρ χωριστὸς (sc. λόγος) ἄλλος, ὁ ἐν νῷ· ἐν νῷ δέ, ὅτι καὶ αὐτὸς ν. II 7,3,14-15 εἴτε γὰρ ἐλάττω (if they posit less than three ἀρχαί), ἢ ψυχὴν καὶ νοῦν ταὐτὸν φήσουσιν, ἢ νοῦν καὶ τὸ πρῶτον II 9,1,17-18 οὐδ' ἐπινοεῖν (sc. δεῖ) τὸν μέν τινα νοῦν ἐν ἡσυχίᾳ τινί, τὸν δὲ οἷον κινούμενον 26.28 ἔστι γὰρ ὡς ἔστι ν. ἀεὶ ὡσαύτως ἐνεργείᾳ κείμενος ἑστώσῃ 29.32 (v. μεταξύ) οὐ μὴν οὐδὲ διὰ τοῦτο πλείους ν. ποιεῖν, εἰ ὁ μὲν νοεῖ, ὁ δὲ νοεῖ ὅτι νοεῖ 33. 37 λαβεῖν νοῦν νοοῦντα μόνον, μὴ παρακολουθοῦντα δὲ ἑαυτῷ ὅτι νοεῖ (quod est absurdum) 42 ὅταν δὲ δὴ ὁ ν. ὁ ἀληθινὸς ἐν ταῖς νοήσεσιν αὑτὸν νοῇ καὶ μὴ ἔξωθεν ᾖ τὸ νοητὸν αὐτοῦ, ἀλλ' αὐτὸς ᾖ καὶ τὸ νοητόν, ἐξ ἀνάγκης ἐν τῷ νοεῖν ἔχει ἑαυτὸν καὶ ὁρᾷ ἑαυτόν 47.58 (v. λόγος,c) ἢ ὁ ν. οὐ ν. (sc. εἰ μὴ δίδωσι τὸ αὑτοῦ) ἢ ψυχὴ μὴ τοῦτο, κτλ II 9,3,9; 6,15 (v. δημιουργός,b) ἧπερ οὖν « ν. ἐνούσας ἰδέας ἐν

τῷ δ ἔστι ζῷον καθορᾷ » (cf. Plat. Tim. 39e), κτλ II 9,6,17 cf. III 9,1,1.2 cf. καὶ ᾐνιγμένως Πλάτωνι τὸ « ᾗπερ οὖν ν.» (cf. Plat. Tim. 39e) κτλ VI 2,22,1 οἱ δὲ οὐ συνέντες τὸν μὲν ἔλαβον ἐν ἡσυχίᾳ ἔχοντα ἐν αὑτῷ πάντα τὰ ὄντα, τὸν δὲ νοῦν ἕτερον παρ' αὐτὸν θεωροῦντα, τὸν δὲ διανοούμενον II 9,6,20 ἐκείνου (sc. τοῦ μετὰ τὸ πρῶτον) τῶν πάντων ὄντος καὶ νοῦ τοῦ πρώτου καὶ οὐσίας κτλ 33 διὰ τί οὐ . . ἐν νῷ λαμβάνουσι (sc. τὰ ἄστρα) τὸν θεὸν κτλ; II 9,8,36; 9,13 (v. ἁμαρτίαι) δύναται (sc. ψυχὴ ἀνθρώπου θεὸς γενέσθαι) εἰς ὅσον ν. ἄγει· τὸ δ' ὑπὲρ νοῦν ἤδη ἐστὶν ἔξω νοῦ πεσεῖν 51-52 ἐκεῖ ψυχὴ χεῖρον νοῦ καὶ οὗτος ἄλλου ἔλαττον II 9,13,33

III 2,1,3 (v. ἀνήρ,a).22 (v. πρόνοια) καὶ νοῦν πρὸ αὐτοῦ (sc. τοῦ κόσμου) εἶναι οὐχ ὡς χρόνῳ πρότερον ὄντα, ἀλλ' ὅτι παρὰ νοῦ ἐστι κτλ 22-24.27 (v. κόσμος,c).31 (v. ζωή,c) τί δ' ἂν λόγος λόγον ἐργάσαιτο ἢ ν. νοῦν ἄλλον; 38; 2,15 (v. ὕλη,c1a).17 (v. λόγος,c).18 οὕτω δὴ καὶ ἐξ ἑνὸς νοῦ καὶ τοῦ ἀπ' αὐτοῦ λόγου ἀνέστη τόδε τὸ πᾶν 23.32 (v. τὸ πᾶν,b).33.35 (v. ἀνάγκη,a); 3,30 (v. περιφορά); 6,23 (v. τὸ πᾶν,b) τῷ ἐν νῷ ἀνθρώπῳ (q.v.) III 2,7,8 μετέχον, . . νοῦ (sc. τὸ ἀνθρώπινον γένος) III 2,9,26; 14,1 (v. λογισμός); 16,13 (v. λόγος,c).15.16.29.30 ν. δὲ οὐ τούτων τι ἕν, ἀλλὰ πάντα III 3,3,22; 5,14 (v. διάνοια).17 III 4,2,15 (v. νοερός); 6,3-5 (v. δαίμων) ἐκ Κρόνου (q.v.) νοῦ ὄντος ἐκείνου III 5,2,19; 7,53 (v. νοητός,a) « βασιλικὸν νοῦν » (cf. Plat. Phileb. 30d) κτλ III 5,8,11 (v. Ζεύς) cf. IV 4,9,3 ὁ μὲν (sc. Ζεύς) ἔσται κατὰ τὸν νοῦν, κτλ III 5,8,14.17 (v. ἄρρην); 9,1 (v. Πόρος). 3 (v. συσπειρᾶσθαι).18 (v. ὑποβαίνειν) ν. δὲ ἑαυτὸν ἔχει ἐν κόρῳ καὶ οὐ μεθύει ἔχων 18 ὁ δὲ λόγος νοῦ γέννημα καὶ ὑπόστασις μετὰ νοῦν 19-20 III 6,2,32 (v. τὸ λογιζόμενον,b) 38 τοῦτο δὲ (sc. τὸ ὄν) ν. καὶ πάντη φρόνησις III 6,6,17.24 ψυχὴ καὶ ν., ὄντα καὶ ὄντως ὄντα 38; 7,8 ἅτε μὴ ἰσχὺν παρὰ νοῦ λαβόν (sc. ὕλη) 20; 17,4 (v. μέγας,b) ἵνα ἴδωσιν, ὃ μὴ νῷ ἐδύναντο III 8,4,36; 6,25 (v. λόγος,c); 8, 19 (v. ζωή,c) ὅταν τὸ ἓν θεωρῇ, οὐχ ὡς ἓν (sc. τοῦτο ποιεῖ)· εἰ δὲ μή, οὐ γίνεται ν. 32 καὶ ἄλλως δὲ ὁ ν. οὐχ ἑνός τινος ν., ἀλλὰ καὶ πᾶς· πᾶς δὲ ὢν καὶ πάντων. δεῖ οὖν αὐτὸν πάντα ὄντα καὶ πάντων καὶ τὸ μέρος αὐτοῦ ἔχειν πᾶν καὶ πάντα· εἰ δὲ μή, ἕξει τι μέρος οὐ νοῦν, καὶ συγκείσεται ἐξ οὐ νῶν, καὶ σωρός τις συμφορητὸς ἔσται ἀναμένων τὸ γενέσθαι ν. ἐκ πάντων 41-45; 9,5-7 (v. νοητός,a) ν. ζωὴ ἡ πρώτη καὶ πᾶσα III 8,10,2; 11,1.8 (v. ὄψις,a) τοῦ δὴ νοῦ καλοῦ ὄντος καὶ πάντων καλλίστου, κτλ 27.38.40-41 (v. κόρος) III 9,1,4-5 (v. εἶδος, c) τὸ ζῷον, ζητητέον εἰ μὴ ν., ἀλλ' ἕτερον νοῦ· τὸ γὰρ θεώμενον ν. 6.7 (v. νοητόν) καὶ τὸν νοῦν ἔξω φήσομεν αὐτοῦ ἃ ὁρᾷ ἔχειν 8 ἢ τὸ μὲν νοητὸν οὐδὲν κωλύει καὶ νοῦν εἶναι ἐν στάσει καὶ ἑνότητι καὶ ἡσυχίᾳ, τὴν δὲ τοῦ



νοῦ φύσιν τοῦ ὁρῶντος ἐκεῖνον τὸν νοῦν τὸν ἐν αὑτῷ ἐνέργειάν τινα ἀπ' ἐκείνου, ἢ ὁρᾷ ἐκεῖνον· ὁρῶντα δὲ ἐκεῖνον <εἶναι> (add. H-S$^3$) οἷον [ἐκεῖνον εἶναι] (del. H-S$^3$) νοῦν ἐκείνου, ὅτι νοεῖ ἐκεῖνον· νοοῦντα δὲ ἐκεῖνον καὶ αὐτὸν νοῦν καὶ νοητὸν ἄλλως εἶναι τῷ μεμιμῆσθαι 16-20 ἄλλοις δὲ δόξει τὰ τρία ἓν εἶναι, τὸ ζῷον αὐτὸ ὅ ἐστιν, ὁ ν., τὸ διανοούμενον 25.28 ἢ δυνατὸν τρόπον μὲν ἄλλον τὸν νοῦν εἶναι τὸν μερίσαντα, τρόπον δὲ ἕτερον τὸν μερίσαντα μὴ τὸν νοῦν εἶναι 29-30.36 (v. διανοεῖσθαι,b) εἰ δὲ νόες αἱ ἐνέργειαι αἱ κατὰ τὸ νοεῖν οὕτως ἑαυτούς, τὸ νοητὸν ἡμεῖς οἱ ὄντως III 9,6,7 καὶ ν. δὲ περὶ τὸ δεύτερον· ἄλλο γὰρ ὂν πρὸς ἄλλο ἔχει τὴν νόησιν III 9,7,3 ὁ δὲ ν. τὰ ὄντα III 9,9,1

ν. τὸ ἄριστον αὐτοῦ (sc. τοῦ νοητοῦ κόσμου) IV 1,1, ἐκεῖ δὲ ὁμοῦ μὲν ν. πᾶς κτλ 5.7 (v. ἀδιάκριτος) θέαμα (q.v.) τοῦ νοῦ (cj. Dodds,H-S$^2$: θεαμάτων MSS)IV 3,1,12.13 (v. τὸ διττόν) ἐπὶ μὲν οὖν τοῦ νοῦ ἑτερότητι χωριζομένου ἑαυτοῦ κατὰ μέρη μάλιστα ἀπ' ἀλλήλων, ὄντων δὲ ὁμοῦ ἀεὶ κτλ IV 3,4,9 ἢ ἀπολεῖται οὐδὲν τῶν ὄντων· ἐπεὶ κἀκεῖ οἱ νόες οὐκ ἀπολοῦνται, ὅτι μὴ εἰσι σωματικῶς μεμερισμένοι, εἰς ἓν IV 3,5,6 ν. ἐκεῖνος ὁ ἐκεῖ ἥλιος IV 3,11,14.17 ν. δὲ πᾶς ἀεὶ ἄνω καὶ οὐ μή ποτε ἔξω τῶν αὐτοῦ γένοιτο, κτλ IV 3,12,30 ὁ πρὸ κόσμου ν. IV 3,13,22 (v. εἱμαρμένη); 18,4 (v. ἐλάττωσις). 11 (v. λογισμός); 19,24 (v. λογισμός); 25,14 (v. μνήμη) τῷ μὲν γὰρ νῷ (cj. Kleist,H-S$^2$: ἄνω MSS) μὴ ἔστω ἐνεργείᾳ (sc. διαίρεσις) ὁμοῦ ὄντι IV 4,1,18 ἀλλ' ὅταν ἕν τι διαιρῇ καὶ ἀναπτύσσῃ (sc. ἡ ψυχή); ἢ ἐν τῷ νῷ διῄρηται 26; 2,3 ἐπὶ τοῦ νοῦ τὸ ὡσαύτως ἔχειν 16 αἰὼν περὶ νοῦν IV 4,15,2; 16,24 (v. ἀκίνητος) ν. γὰρ εὐθὺς καὶ ἔχει καὶ περιείληφεν (sc. τὸ ἐπέκεινα ὄντος) 26 διὰ τί οὐ καὶ νοῦν ἔχειν φήσειε (sc. τὴν γῆν); IV 4,22,18; 27,15 (v. Ἑστία) IV 7,2,19 (v. ἀνόητος); 3,31 (v. πνεῦμα, b); 8,19 (v. χωρίζειν,a) ὁ δὲ ν. ὕστατος (apud Stoicos) ἀπὸ τῆς ψυχῆς δηλονότι γενόμενος. ἢ εἰ πρὸ πάντων ν., ἐφεξῆς ἔδει ψυχὴν ποιεῖν, εἶτα φύσιν, κτλ IV 7,8$^3$,8-9.11.13 (v. θεός,a).14 πρότερον ἄρα καὶ ν. καὶ ψυχὴ φύσεως 22 διὸ καὶ αὐτοὶ ἄλλην ψυχὴν ἢ νοῦν εἰσάγουσιν, ὃν ἀθάνατον τίθενται IV 7,8$^5$,16 ὄψεται γὰρ νοῦν ὁρῶντα οὐκ αἰσθητόν τι κτλ IV 7,10,33 ὅσος μὲν ν. μόνος, ἀπαθὴς ἐν τοῖς νοητοῖς ζωὴν μόνον νοερὰν ἔχων ἐκεῖ ἀεὶ μένει — οὐ γὰρ ἔνι ὁρμὴ οὐδ' ὄρεξις κτλ IV 7,13,2.5.6 (v. κοσμεῖν).14 (v. ἐμπαθής) προελθοῦσα εἰς τὰ ἐπίταδε νοῦ ἐνέργεια νοῦ μένοντος ἐν τῷ αὐτῷ καὶ διὰ ψυχῆς πάντα καλῶν πληροῦντος κτλ 16-17 IV 8,1,8 (v. λογισμός) ὄντος τοίνυν παντὸς νοῦ ἐν τῷ τῆς νοήσεως τόπῳ ὅλου τε καὶ παντός, ὃν δὴ κόσμον νοητὸν τιθέμεθα, ὄντων δὲ καὶ τῶν . . νόων τῶν καθέκαστα — οὐ γὰρ εἷς μόνος, ἀλλ' εἷς καὶ πολλοὶ κτλ IV 8,3,7-9 καὶ γὰρ ἐκεῖ ἐν τῷ νῷ τὸ μὲν ν.

περιέχων δυνάμει τἆλλα οἷον ζῷον μέγα, τὰ δὲ ἐνεργείᾳ ἕκαστον, ἃ δυνάμει περιεῖχε θάτερον 14 IV 9,3,26 (v. αἴσθησις,a2)

ἰδέτω . . τούτων τὸν « ἀκήρατον » (cf. Plat. Crat. 396b) νοῦν προστάτην, κτλ V 1,4,8.10 (v. Κρόνος).11 ὁ δὲ ν. πάντα 21 ἕκαστον δὲ αὐτῶν ν. καὶ ὂν ἐστι καὶ τὸ σύμπαν πᾶς ν. καὶ πᾶν ὄν, ὁ μὲν ν. κατὰ τὸ νοεῖν ὑφιστὰς τὸ ὄν, τὸ δὲ ὂν τῷ νοεῖσθαι τῷ νῷ διδὸν τὸ νοεῖν καὶ τὸ εἶναι 26-27.32 (v. νοεῖν,a).35 (v. πρῶτος, c); 5,14 (v. δυάς); 7,7.11 (v. δύναμις,Bc) γενεᾶς (q.v.) ὁ ν. οὗτος ἀξίας (cj. Igal, H-S$^{2}$: ἄξιος MSS) νοῦ . . φῦναι, γενόμενον δὲ ἤδη τὰ ὄντα πάντα σὺν αὐτῷ γεννῆσαι, κτλ 27.35 νοῦ δὲ γέννημα λόγος τις καὶ ὑπόστασις, τὸ διανοούμενον· τοῦτο δ' ἐστὶ τὸ περὶ νοῦν κινούμενον καὶ νοῦ φῶς καὶ ἴχνος ἐξηρτημένον ἐκείνου, κτλ 42-43; 8,5 (v. πατήρ,b) δημιουργὸς γὰρ ὁ νοῦς αὐτῷ (sc. Plato,Tim. 34b sqq. and 41d) 5 αἰτίου δὲ νοῦ ὄντος πατέρα φησὶ τἀγαθὸν καὶ τὸ ἐπέκεινα νοῦ . . πολλαχοῦ δὲ τὸ ὂν καὶ τὸν νοῦν τὴν ἰδέαν λέγει 7-8.10.16; 9,1 (v. Ἀναξαγόρας); 10,4 (v. ὄν,j) ν. δὲ ὁ μὲν λογιζόμενος, ὁ δὲ λογίζεσθαι παρέχων 12; 11,6 (v. λογίζεσθαι,a); 12,4 (v. ἐνέργεια,d) ἀλλὰ μηδὲ νοῦ τῇ φύσει διδόναι (sc. τὸ αὐτὸν ἑαυτὸν νοεῖν) παντάπασιν ἄτοπον, κτλ V 3,1,17.20 (v. τὰ ἔξω) εἰ (cj. Igal,H-S$^{2}$: ὁ MSS) δὲ ν. τούτων γνῶσιν ἔχει ἢ μή, σκέψασθαι προσήκει 21.22 (v. γιγνώσκειν,a); 2,9 (v. τύπος,a) εἰ γὰρ μηδεμία (sc. διαφορά), ἤδη τοῦτο ν. ὁ ἄκρατος 22 νῷ δὲ ἀξιοῦμεν ὑπάρχειν τὰ αὐτοῦ καὶ τὰ ἐν αὐτῷ σκοπεῖσθαι V 3,3,17.21 ἡμέτερον δὲ νοῦν (sc. τὸν καθαρόν) φήσομεν, ἄλλον μὲν ὄντα τοῦ διανοουμένου καὶ ἐπάνω βεβηκότα, ὅμως δὲ ἡμέτερον, κτλ 24 οὐ γὰρ ν. ἡμεῖς 31 (v. ἡμεῖς,b) διὰ <νοῦ> νοοῦμεν (cj. Igal,H-S$^{2}$: διανοοῦμεν MSS) οὕτως; 34.36 (v. ἐνέργημα) ν. δὲ ἀμφισβητεῖται, καὶ ὅτι μὴ αὐτῷ ἀεὶ (sc. χρώμεθα) καὶ ὅτι χωριστός 41 τὸν γινώσκοντα ἑαυτὸν κατὰ τὸν νοῦν ἐκεῖνον γινόμενον V 3,4,10.17 (v. κανών) ἀπὸ νοῦ ἐστι καὶ δεύτερον μετὰ νοῦν καὶ εἰκὼν νοῦ (sc. τὸ διανοητικόν) 20 νοῦν αὖ γινώσκοντα ἑαυτὸν κατοψόμεθα ἢ ἐκεῖνον μεταλαβόντες, ἐπείπερ κτλ 24.26 τὸ ἐν νῷ « αὐτὸ ἑαυτό » (sc. νοοῦν) 27 ἔστι δὴ ν. τις αὐτὸς γεγονώς, ὅτε τὰ ἄλλα ἀφεὶς ἑαυτοῦ τούτῳ καὶ τοῦτον βλέπει, αὐτῷ δὲ ἑαυτόν. ὡς δὴ οὖν ν. ἑαυτὸν ὁρᾷ 28-30 εἰ τοῦτο, δεῖ . . τὸν « νοῦν ταὐτὸν » εἶναι τῷ « νοητῷ » (cf. Aristot. Met. 1072b)· καὶ γάρ, εἰ μὴ ταὐτόν, οὐκ ἀλήθεια ἔσται V 3,5,22.26 (v. νοητός,a) πρῶτος ν. τὰ ὄντα ἔχων, μᾶλλον δὲ ὁ αὐτὸς τοῖς οὖσιν 27.31 (v. νόησις,d).38 (v. νόησις,d) οὐδὲ γὰρ ὁ ν. οὗτος δυνάμει οὐδ' ἕτερος μὲν αὐτός, ἡ δὲ νόησις ἄλλο 39 ἓν ἅμα πάντα ἔσται, ν., νόησις, τὸ νοητόν 43; 6,3 (v. νοεῖν,a) ὁ δὲ ν. (sc. ἐνόει) ὅτι αὐτὸς καὶ οἷος αὐτὸς καὶ ὅστις καὶ ἐκ τῆς ἑαυτοῦ φύσεως 4 ν. γὰρ καὶ νόησις ἓν 7.10 (v. ἀνάγκη,a) νῷ καθαρῷ θεᾶσθαι τὸ ἀληθὲς 11 ἕως ἦμεν ἄνω ἐν νοῦ φύσει, ἠρκούμεθα καὶ ἐνοοῦμεν . . ν. γὰρ ἦν ὁ νοῶν (v.l. ἀνθῶν) καὶ περὶ αὐτοῦ λέγων 12-14.19 (v. θεωρεῖν,a) νοῦν τινα αὐτὸ (sc. τὸ διανοητικόν) εἶναι ἢ διὰ νοῦ τὴν δύναμιν καὶ παρὰ νοῦ αὐτὸ ἴσχειν 21-22.28 (v. ἀληθής,a) εἴπερ ἐν ἑαυτῷ ἐστι καὶ σὺν ἑαυτῷ καὶ τοῦτο, ὅπερ ἐστί, ν. ἐστιν (ἀνόητος δὲ ν. οὐκ ἄν ποτε εἴη) ἀνάγκη συνεῖναι αὐτῷ τὴν γνῶσιν ἑαυτοῦ — καὶ ὅτι ἐν αὐτῷ οὗτος, καὶ οὐκ ἄλλο αὐτῷ τὸ ἔργον καὶ ἡ οὐσία ἢ τὸ νῷ μόνον εἶναι. οὐ γὰρ δὴ πρακτικός γε (cj. Kirchhoff: τε MSS) οὗτος 32-35.39 (v. ὄρεξις) τίς γὰρ ἂν καὶ ἡ ζωὴ αὐτοῦ (sc. other than self-knowledge) εἴη πράξεως ἀπηλλαγμένῳ καὶ ἐν νῷ ὄντι; 43 νῷ ἡσυχία οὐ νοῦ ἐστιν ἔκστασις, ἀλλ' ἔστιν ἡσυχία τοῦ νοῦ σχολὴν ἄγουσα ἀπὸ τῶν ἄλλων ἐνέργεια V 3,7,13-14.32 (v. νόησις,d) ποῖον (scr. Beutler-Theiler,H-S$^{2}$: ποιὸν MSS) δέ τι ὁρᾷ τὸ νοητὸν ὁ ν., καὶ ποῖόν (scr. Beutler-Theiler,H-S$^{2}$: ποιόν MSS) τι ἑαυτόν; V 3,8,1.18 ἐγγὺς ἂν γένοιο φύσεως νοῦ καὶ νοητοῦ 27.36 (v. φῶς); 9,21 (v. συλλογίζεσθαι) λεκτέον δὲ πάλιν τοῦτον τὸν νοῦν δεηθῆναι τοῦ ὁρᾶν ἑαυτόν, μᾶλλον δὲ ἔχειν τὸ ὁρᾶν ἑαυτόν, πρῶτον μὲν τῷ πολὺν εἶναι, εἶτα καὶ τῷ ἑτέρου (sc. τοῦ πρώτου) εἶναι, κτλ V 3,10,9.26 (v. νοεῖν, a) νοῦν (cj. Fic.: τι οὖν MSS) V 3,12,40 (v. φῶς); 16,9 (v. κόσμος,b) πᾶσα ἐν τούτῳ ψυχὴ καὶ πᾶς νοῦς καὶ οὐδὲν αὐτῷ οὔτε ζωῆς οὔτε νοῦ ἀποστατεῖ 29-30.33 V 4,2,8 (v. δυάς). 12 (v. νοητόν).19 (v. νόησις,c).25 (v. νόησις,d) ν. δὴ καὶ ὂν ταὐτόν. οὐ γὰρ τῶν πραγμάτων ὁ ν. — ὥσπερ ἡ αἴσθησις τῶν αἰσθητῶν — προόντων, ἀλλ' αὐτὸς « ν. τὰ πράγματα » (cf. Aristot. De An. 431b), εἴπερ μὴ εἴδη αὐτῶν κομίζεται. πόθεν γάρ; ἀλλ' ἐνταῦθα μετὰ τῶν πραγμάτων καὶ ταὐτὸν αὐτοῖς καὶ ἓν 43-45 τὸν νοῦν, τὸν ἀληθῆ νοῦν καὶ ὄντως, ἆρ' ἄν τις φαίη ψεύσεσθαί ποτε καὶ μὴ τὰ ὄντα δοξάσειν; οὐδαμῶς V 5,1,1.3 (v. ἀνοηταίνειν).15 (v. αἴσθησις,a2) ὁ δὴ ν. γινώσκων καὶ τὰ νοητὰ γινώσκων, εἰ μὲν ἕτερα ὄντα γινώσκει, πῶς μὲν ἂν συντύχοι αὐτοῖς; ἐνδέχεται γὰρ μή, κτλ 20 εἶτα κἀκεῖνα (sc. τὰ νοητά) ἀναίσθητα καὶ ἄμοιρα ζωῆς καὶ νοῦ, ἢ νοῦν ἔχει. καὶ εἰ νοῦν ἔχει, ἅμα ἐνταῦθα ἄμφω, καὶ τὸ ἀληθὲς ὡδί, καὶ ὁ πρῶτος ν. οὗτος, καὶ ἐπὶ τούτου ζητήσομεν, πῶς ἔχει ἡ ἐνταῦθα ἀλήθεια, καὶ τὸ νοητὸν καὶ ὁ ν. εἰ ἐν τῷ αὐτῷ μὲν καὶ ἅμα, δύο δὲ καὶ ἕτερα, ἢ πῶς; 33-36 πῶς δὲ αὐτοῖς συντεύξεται ὁ ν. περιθέων; 45 ἀλλ' εἰ τοῦτο, ὁ θεωρῶν ν. αἴσθησις ἔσται 49 εἰ γὰρ καὶ ὅτι μάλιστα δοίη τις ταῦτα ἔξω εἶναι, καὶ τὸν νοῦν αὐτὰ οὕτως ἔχοντα θεωρεῖν, ἀναγκαῖον αὐτῷ μήτε τὸ ἀληθὲς αὐτῶν ἔχειν 52 εἰ οὖν μὴ ἀλήθεια ἐν τῷ νῷ, οὗτος μὲν ὁ τοιοῦτος ν. οὔτε ἀλήθεια ἔσται, οὔτε ἀληθείᾳ ν. οὔτε ὅλως ν. ἔσται 65-67 οὔτε τύπους ἐν τῷ νῷ τῶν ὄντων λέγειν εἶναι (sc. δεῖ), οὔτε τῆς ἀληθείας

ἀποστεροῦντας αὐτὸν ἀγνωσίαν τε τῶν νοητῶν ποιεῖν καὶ ἀνυπαρξίαν καὶ ἔτι αὐτὸν τὸν νοῦν ἀναιρεῖν V 5,2,2-4 τῷ ἀληθινῷ νῷ δοτέον τὰ πάντα 9 μία τοίνυν φύσις αὕτη ἡμῖν, ν., τὰ ὄντα πάντα, ἡ ἀλήθεια· εἰ δέ, θεός τις μέγας V 5,3,1; 4,4 (v. κόσμος,c) οὕτω .. ἡ τοῦ νοῦ ὄψις· ὁρᾷ μὲν καὶ αὕτη δι' ἄλλου φωτὸς τὰ πεφωτισμένα ἐκείνῃ τῇ πρώτῃ φύσει, καὶ ἐν ἐκείνοις ὄντος ὁρᾷ V 5,7,16 ἀλλ' ἐπεὶ μὴ ὡς ἔξω ὂν δεῖ τὸν νοῦν τοῦτο τὸ φῶς βλέπειν, πάλιν 22 οὕτω δὴ καὶ ν. αὐτὸν ἀπὸ τῶν ἄλλων καλύψας καὶ συναγαγὼν εἰς τὸ εἴσω μηδὲν ὁρῶν θεάσεται οὐκ ἄλλο ἐν ἄλλῳ φῶς, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ μόνον καθαρὸν ἐφ' ἑαυτοῦ ἐξαίφνης φανέν 31 χρὴ .. τῷ νῷ πιστεύειν ἄλλα ὁρᾶν, καὶ μὴ κτλ V 5,12,2 V 6,1,20; 2,2-3 (v. νοεῖν,c).7-8.10 (v. νοητός,a); 6,22 (v. ὄν,j) ἢ καὶ ἐν νῷ, ἢ ἐν ψυχῇ, τὸ ἄπειρον τούτων ἀνάπαλιν τῶν ἐκεῖ προχείρων V 7,3,22 τὸ τοῦ ἀληθινοῦ νοῦ .. κάλλος V 8,1,2.6 ν. δὲ οὗτος, ὁ ἀεὶ ν. καὶ οὐ ποτὲ ν., ὅτι μὴ ἐπακτὸς αὐτῷ V 8,3,9-10.12 οὕτω καὶ ἐνταῦθα ἀπὸ νοῦ τοῦ ἐν ἡμῖν κεκαθαρμένου (sc. we must start from), εἰ δὲ βούλει, ἀπὸ τῶν θεῶν, οἷός ἐστιν ὁ ἐν αὐτοῖς ν. 17-18 ἀλλὰ τί ἐστι δι' ὃ τοιοῦτοί εἰσιν (sc. οἱ θεοί); ἢ ν., καὶ ὅτι μᾶλλον ν. ἐνεργῶν ἐν αὐτοῖς, ὥστε ὁρᾶσθαι 20.23 (v. θεός,b) ἀεὶ φρονοῦσιν ἐν ἀπαθεῖ τῷ νῷ καὶ στασίμῳ καὶ καθαρῷ 25 γινώσκουσιν .. ὅσα ν. ὁρᾷ 27 καὶ γὰρ τὸ ὑποκείμενον (sc. ἐκεῖ) ν. καὶ αὐτὸς ν. V 8,4,18-19.40 (v. αὐτοεπιστήμη) εἰ δὲ εἰς νοῦν ἥξουσιν, ἐνταῦθα ὀπτέον, εἰ ὁ ν. ἐγέννησε τὴν σοφίαν V 8,5,12-13 θέαμα νοῦ V 8,8,6 (v. θέα,b); 11,34 (v. ἀγνοεῖν) V 9,1,2 (v. αἴσθησις, a2) ν. δὲ οὐ ποτὲ μὲν ν., ποτὲ δὲ ἄνους, ὅ γε ἀληθινός V 9,2,21-22 ἐπισκεπτέον δὲ ταύτην τὴν νοῦ φύσιν, ἣν ἐπαγγέλλεται ὁ λόγος εἶναι τὸ ὂν ὄντως καὶ τὴν ἀληθῆ οὐσίαν V 9,3,1 ἴσως .. γελοῖον ζητεῖν, εἰ ν. ἐστιν ἐν τοῖς οὖσι 5.25 (v. δημιουργός,b) νοῦν χορηγὸν τῶν λόγων γενονέναι, κτλ 30 δεῖ δὲ νοῦν λαμβάνειν, .. μὴ τὸν δυνάμει μηδὲ τὸν ἐξ ἀφροσύνης εἰς νοῦν ἐλθόντα .. ἀλλὰ τὸν ἐνεργείᾳ καὶ ἀεὶ νοῦν ὄντα V 9,5,1-4 ἢ δῆλον ὅτι ν. ὢν ὄντως νοεῖ τὰ ὄντα καὶ ὑφίστησιν. ἔστιν ἄρα τὰ ὄντα 12.23 (v. κόσμος,b).24 (v. λόγος,c) ὁ ν. ἄρα τὰ ὄντα ὄντως, οὐχ οἷά ἐστιν ἄλλοθι νοῶν· οὐ γάρ ἐστιν οὔτε πρὸ αὐτοῦ οὔτε μετ' αὐτόν· ἀλλὰ οἷον νομοθέτης κτλ 26 ν. δὲ ἀνέχων θαυμαστῇ φύσει τὰ παρ' αὐτῶν πίπτοντα, ὅπου ἱδρυθῇ αὐτὸς οὐ ζητεῖ 47 ν. μὲν δὴ ἔστω τὰ ὄντα, καὶ πάντα ἐν αὐτῷ οὐχ ὡς ἐν τόπῳ ἔχων, ἀλλ' ὡς αὐτὸν ἔχων καὶ ἓν ὢν αὐτοῖς V 9,6,1 οὕτως .. πολὺ μᾶλλον ὁ ν. ἐστιν ὁμοῦ πάντα καὶ αὖ οὐχ ὁμοῦ, ὅτι ἕκαστον δύναμις ἰδία. ὁ δὲ πᾶς ν. περιέχει ὥσπερ γένος εἴδη καὶ ὥσπερ ὅλον μέρη 8-9; 7,5 (v. ἐπίσταμαι) ὅτι ὁ ν. ἔνδον — ὅ ἐστιν αὐτὰ τὰ πρῶτα — συνὼν αὐτῷ ἀεὶ καὶ ἐνεργείᾳ ὑπάρχων καὶ οὐκ ἐπιβάλλων ὡς οὐκ ἔχων ἢ ἐπικτώμενος ἢ διεξοδεύων οὐ προκεχειρισμένα — ψυχῆς γὰρ ταῦτα πάθη — ἀλλ' ἕστηκεν ἐν αὐτῷ ὁμοῦ πάντα ὤν, οὐ νοήσας, ἵν' ὑποστήσῃ ἕκαστα 8; 8,2-3 (v. ἰδέα,a) καὶ ὅλος μὲν ὁ ν. τὰ πάντα εἴδη, ἕκαστον δὲ εἶδος ν. ἕκαστος 4 ἔστιν οὖν οὗτος ὁ ν. ἐν αὐτῷ καὶ ἔχων ἑαυτὸν ἐν ἡσυχίᾳ κόρος ἀεί. εἰ μὲν οὖν προεπενοεῖτο ὁ ν. πρότερος τοῦ ὄντος, ἔδει τὸν νοῦν λέγειν ἐνεργήσαντα καὶ νοήσαντα ἀποτελέσαι καὶ γεννῆσαι τὰ ὄντα· ἐπεὶ δὲ τὸ ὂν τοῦ νοῦ προεπινοεῖν ἀνάγκη, ἐγκεῖσθαι δεῖ τίθεσθαι ἐν τῷ νοοῦντι τὰ ὄντα, κτλ 7-11.14 (v. ἐνέργεια,d) μία μὲν οὖν φύσις τό τε ὂν ὅ τε ν. 17.18 ἕτερος γὰρ ὁ μερίζων ν., ὁ δὲ ἀμέριστος καὶ μὴ μερίζων τὸ ὂν καὶ τὰ πάντα 21 τίνα οὖν ἐστι τὰ ἐν ἑνὶ νῷ, ἃ νοοῦντες μερίζομεν ἡμεῖς; κτλ V 9,9,1.6 (v. ἀνάγεσθαι,e) ἀναγκαῖον καὶ ἐν νῷ τὸ ἀρχέτυπον (sc. τοῦ κόσμου) πᾶν εἶναι, καὶ κόσμον νοητὸν τὸν νοῦν εἶναι, ὅν φησιν ὁ Πλάτων «ἐν τῷ ὅ ἐστι ζῷον» (cf. Plat. Tim. 39e) 6-7; 12,2 (v. τέχναι) λοιπὸν δὲ εἰπεῖν, εἰ .. νοῦ αὐτονοῦς (sc. ἕτερος ἐκεῖ) V 9,13,3 πῶς τὰ πάντα ταῦτα, καὶ διὰ τί ν. ταῦτα καὶ πόθεν, λεκτέον ἀπ' ἄλλης ἀρχῆς ἀρχομένοις (v. V 4) V 9,14,5 ὅσα κομίζεται ν. ἀπὸ τοῦ πρώτου, πάντα ἄριστα· ἐν οἷς οὐ ταῦτα (sc. ῥύπος καὶ πηλοῦ εἴδη)· οὐδ' ἐκ τούτων ν., ἀλλὰ ψυχὴ παρὰ νοῦ, λαβοῦσα παρὰ ὕλης ἄλλα, ἐν οἷς ταῦτα 8-10.14 (v. σύνθετος)

ἢ κἂν μὴ εἴδη τις διδῷ, ἀλλὰ νοῦν λέγων εἰ ἕξιν λέγοι ἢ κοινόν τι ἐπ' ἐκείνης (sc. τῆς ἐν τῷ νοητῷ) καὶ ταύτης (sc. τῆς ἐνθάδε) τῆς ἕξεως (sc. σκεπτέον) VI 1,12,46; 21,17 (v. ὄρεξις) εἰ δὲ τῷ νῷ λέγουσι λαβεῖν (sc. τὴν ὕλην), ἄτοπος ὁ ν. οὗτος ὁ τὴν ὕλην αὐτοῦ προτάξας καὶ τὸ ὂν αὐτῇ δεδωκώς, ἀλλ' οὐχ αὑτῷ. οὐκ ὢν οὖν ὁ ν. αὐτοῖς πῶς ἂν πιστὸς εἴη περὶ τῶν κυριωτέρων αὐτοῦ λέγων καὶ οὐδαμῇ αὐτοῖς συγγενὴς ὤν; VI 1,28,21-23 πῶς γὰρ ἔχουσα (sc. ὕλη αὐτοῖς) ὁ ν. VI 1,29,27 οὔτε νοῦν οὔτε ψυχὴν ἔχουσα (sc. ἡ ὕλη) 30 ζωὴ δὲ καὶ ἐν νῷ VI 2,7,4; 8,1.4 (v. τὸ εἶναι,i) ἴδε δὲ νοῦν καὶ καθαρὸν καὶ βλέψον εἰς αὐτὸν ἀτενίσας, μὴ ὄμμασι τούτοις δεδορκώς. ὁρᾷς δὴ οὐσίας ἑστίαν καὶ φῶς ἐν αὐτῷ ἄυπνον κτλ 5 ἔτι δὲ ἡ μὲν ἰδέα ἐν στάσει πέρας οὖσα νοῦ, ὁ δὲ ν. αὐτῆς ἡ κίνησις 24; 9,15 (v. ὄν,j) ἀληθέστερον ἐν τῷ νῷ (sc. τὸ ἕν) VI 2,11,11 ἔτι μᾶλλον (sc. ἡ ψυχή) ν. εἷς 12; 17,2 ὁ δὲ ν. ὂν νοοῦν καὶ σύνθετον ἐκ πάντων, οὐχ ἕν τι τῶν γενῶν· καὶ ἔστιν ὁ ἀληθινὸς ν. ὂν μετὰ πάντων καὶ ἤδη πάντα τὰ ὄντα, τὸ δὲ ὂν [μόνον] (del. H-S) ψιλὸν εἰς γένος λαμβανόμενον στοιχεῖον αὐτοῦ. δικαιοσύνη δὲ καὶ σωφροσύνη καὶ ὅλως ἀρετὴ ἐνέργειαί τινες νοῦ πᾶσαι· ὥστε οὐκ ἐν πρώτοις καὶ ὕστερα γένος καὶ εἴδη VI 2,18,12-16 ἐπεὶ δὲ ἔφαμεν τὸ ἐκ πάντων τῶν ὄντων νοῦν εἶναι ἕκαστον, πρὸ δὲ πάντων ὡς εἰδῶν καὶ μερῶν τὸ ὂν καὶ τὴν οὐσίαν τιθέμεθα νοῦν εἶναι, τὸν ἤδη νοῦν ὕστερον λέγομεν εἶναι VI 2,19,18-20

λάβωμεν οὖν τὸν μὲν εἶναι νοῦν οὐδὲν ἐφαπτόμενον τῶν ἐν μέρει οὐδ' ἐνεργοῦντα περὶ ὁτιοῦν, ἵνα μὴ τὶς ν. γίγνοιτο, κτλ VI 2,20,1-2 οὕτω δὴ ἄλλως μὲν νοῦν τὸν ξύμπαντα εἰπεῖν εἶναι, τὸν πρὸ τῶν καθέκαστον ἐνεργείᾳ ὄντων, ἄλλως δὲ ν. (cj. Igal,H-S²: ἐκ δὲ most MSS) ἑκάστους, τοὺς μὲν ἐν μέρει ἐκ πάντων πληρωθέντας, τὸν δ' ἐπὶ πᾶσι νοῦν χορηγὸν μὲν τοῖς καθέκαστα, δύναμιν δὲ αὐτῶν εἶναι καὶ ἔχειν ἐν τῷ (cj. Theiler: τοῖς MSS) καθόλου ἐκείνους, ἐκείνους τε αὖ ἐν αὐτοῖς ἐν μέρει οὖσιν ἔχειν τὸν καθόλου, ὡς ἡ τὶς ἐπιστήμη τὴν ἐπιστήμην. καὶ εἶναι καὶ καθ' αὑτὸν τὸν μέγαν νοῦν καὶ ἑκάστους αὖ ἐν αὐτοῖς ὄντας, κτλ 10-17 ὅρα τοίνυν ἐν τούτῳ τῷ μεγάλῳ νῷ καὶ ἀμηχάνῳ οὐ πολυλάλῳ ἀλλὰ πολύνῳ νῷ, τῷ πάντα νῷ καὶ ὅλῳ καὶ οὐ μέρει οὐδὲ τινὶ νῷ, ὅπως ἔνι τὰ πάντα ἐξ αὐτοῦ VI 2,21,3-5 τοῦτο τοίνυν τὸ μέγα σὺν τῷ ἐν αὐτῷ καλῷ τῆς οὐσίας καὶ τῇ περὶ αὐτὸ ἀγλαΐᾳ καὶ τῷ φωτὶ ὡς ἐν νῷ ὄντα ἰδὼν ὁρᾷς καὶ τὸ ποιὸν ἤδη ἐπανθοῦν, μετὰ δὲ τοῦ συνεχοῦς τῆς ἐνεργείας μέγεθος προφαινόμενον τῇ σῇ προσβολῇ ἐν ἡσύχῳ κείμενον 12 οὖσα γὰρ ἔννους ζωὴ καὶ ἐνέργεια οὐκ ἀτελὴς οὐδὲν παραλείπει ὧν εὑρίσκομεν νῦν νοερὸν ἔργον ὄν, ἀλλὰ πάντα ἔχει ἐν τῇ αὑτῆς δυνάμει ὄντα αὐτὰ ἔχουσα καὶ ὡς ἂν ν. ἔχοι. ἔχει δὲ ν. ὡς ἐν νοήσει, νοήσει δὲ οὐ τῇ ἐν διεξόδῳ 27-28.34 (v. λογισμός) ἐν οἷς γὰρ ἡ οὐσία οὐκ ἄλλο τι ἢ ν., καὶ οὐκ ἐπακτὸν οὔτε τὸ ὂν αὐτοῖς οὔτε ὁ ν., ἀμογητὶ ἂν εἴη ἄριστα ἔχον, εἴπερ κατὰ νοῦν κείσεται, καὶ τοῦτο ὄν, ὃ θέλει ν. καὶ ἔστι· διὸ καὶ ἀληθινὸν καὶ πρῶτον· εἰ γὰρ παρ' ἄλλου, ἐκεῖνο ν. 40-43 χωρὶς μὲν ἕκαστον ὅ ἐστιν ὄντων, ὁμοῦ δ' αὖ ἐν ἑνὶ ὄντων, ἡ πάντων ἐν ἑνὶ ὄντων οἷον συμπλοκὴ καὶ σύνθεσις ν. ἐστι. καὶ ἔχων μὲν τὰ ὄντα ἐν αὑτῷ « ζῷόν » ἐστι « παντελὲς » (cf. Plat. Tim. 31b) καὶ « ὅ ἐστι ζῷον » (cf. Plat. Tim. 39e), τῷ δ' ἐξ αὐτοῦ ὄντι παρέχων ἑαυτὸν ὁρᾶσθαι νοητὸν γενόμενος ἐκείνῳ δίδωσιν ὀρθῶς λέγεσθαι 56 καὶ ὁ ν. ἡμῶν ἔχων (sc. τὰς ἰδέας) ἐν τῷ πρὸ αὐτοῦ βέλτιον καθορᾷ· ἐν μὲν γὰρ αὑτῷ καθορᾷ μόνον, κτλ VI 2,22,5.7 ὁ δὴ ν. οὗτος, ὅν φαμεν καθορᾶν, οὐκ ἀπαλλαγεὶς τοῦ πρὸ αὐτοῦ ἐξ αὐτοῦ ὤν, ἅτε ὢν ἐξ ἑνὸς πολλὰ καὶ τὴν τοῦ θατέρου φύσιν συνοῦσαν ἔχων, εἷς πολλὰ γίνεται. εἷς δὲ ν. καὶ πολλὰ ὢν καὶ τοὺς πολλοὺς ν. ποιεῖ ἐξ ἀνάγκης τῆς τοιαύτης 7-11 ἀλλὰ γάρ, ὅτι ἕτερα, ἡ αἴσθησις ἢ ὁ ν. ἐρεῖ, καὶ οὐ δώσουσι λόγον, ἡ μὲν αἴσθησις, ὅτι μηδ' αὐτῆς ὁ λόγος, ἀλλὰ μόνον μηνύσεις διαφόρους ποιήσασθαι, ὁ δὲ ν. ἐν ταῖς αὐτοῦ ἐπιβολαῖς ἁπλαῖς (sc. ἐστιν) καὶ οὐ λόγοις χρῆται πανταχοῦ, ὡς λέγειν ἕκαστον τόδε τόδε, τόδε τόδε· καὶ ἔστιν ἑτερότης ἐν ταῖς κινήσεσιν αὐτοῦ διαιροῦσα θάτερον ἀπὸ θατέρου οὐχ ἑτερότητος αὐτὴ δεομένη VI 3,18,9-11; 22,18 (v. κίνησις,a) ἀλλὰ τὸν νοῦν (sc. μεριεῖς), ἵν' ὁ μὲν ᾖ ἐν ἄλλῳ, ὁ δὲ ἐν ἄλλῳ; ἀλλ' οὐδέτερος αὐτῶν ν. ἔσται VI 4,3,33-34 ν. πολλοὺς .. ν. εἷς VI 4,4,1-3 (v. ὄν,j) πῶς .. νοῖ πολλοί; 19 ν. πολὺς ἑτερότητι, οὐ τόπῳ, ὁμοῦ δὲ πᾶς 25; 10,24 (v. δύναμις,Bb).30 (v. ἀθάνατος); 14,3 (v. ψυχή,a). 7.19 (v. ἡμεῖς, a) τί γὰρ δὴ καὶ διείρξει, ὡς μὴ ἐν τῷ αὐτῷ εἶναι νοῦν ἀπ' ἄλλου; ἀλλ' ὁμοῦ ὄντες ἡμῖν οὐχ ὁμοῦ δοκοῦσιν εἶναι VI 5,10,23 VI 6,3,41 (v. κίνησις,j); 6,26 (v. ἐπιστήμη).38 (v. δικαιοσύνη) « ὁμοῦ » ἐν ἑνὶ « πάντα » (cf. Anaxagoras frg. B1)· αὕτη γὰρ νοῦ φύσις VI 6,7,4 ἐνορᾷ δὲ αὐτὰ τὰ ἐν τῷ νῷ καὶ τῇ οὐσίᾳ ὁ ἔχων ν. οὐκ ἐπιβλέπων, ἀλλ' ἔχων, οὐδὲ χωρίζων ἕκαστον· κεχώρισται γὰρ ἤδη ἐν αὐτῷ ἀεί. πιστούμεθα δὲ πρὸς τοὺς τεθαυμακότας ἐκ τῶν μετειληφότων· τὸ δὲ μέγεθος αὐτοῦ καὶ τὸ κάλλος ψυχῆς ἔρωτι πρὸς αὐτόν (cj. Kirchhoff: αὐτό MSS) (i.e. τὸν νοῦν) καὶ τῶν ἄλλων [τὸν] (del. H-S²) εἰς ψυχὴν ἔρωτι (cj. Sleeman,H-S²: ἔρωτα MSS) διὰ τὴν τοιαύτην φύσιν καὶ τῷ ἔχειν ᾗ κατά τι ὡμοίωται 8; 8,2 (v. ζῷον,c) νοῦν νῷ θεωρητέον καὶ ἐνθυμητέον, ὡς καὶ ἐν ἡμῖν ζωὴ καὶ ν. οὐκ ἐν ὄγκῳ, ἀλλ' ἐν δυνάμει ἀόγκῳ 8-9.16.18-19 (v. ὄν,j).21 (v. ἀριθμός,a) ὁ ν. ἀριθμός VI 6,9, 28.30 (v. ἀριθμός,a); 15,3 (v. ὄν,j) ἐν δὲ τῷ νῷ, καθόσον ν., ὡς μὲν μέρη οἱ (cj. Creuzer: ὡς MSS) νοῖ πάντες καθ' ἕκαστον· ἀριθμὸς δὲ καὶ τούτων. οὐ τοίνυν οὐδ' ἐν νῷ ἀριθμὸς πρώτως· ὡς δὲ ἐν νῷ, ὅσα νοῦ ἐνέργειαι· καὶ ὡς νοῦ, δικαιοσύνη καὶ σωφροσύνη καὶ αἱ ἄλλαι ἀρεταὶ καὶ ἐπιστήμη καὶ ὅσα ν. ἔχων ν. ἐστιν ὄντως 14-18; 17,35-38 (v. ζῷον,c) ἀλλὰ « ν. » φησιν ὅσα « ὁρᾷ ἐν τῷ παντελεῖ ζῴῳ » (cf. Plat. Tim. 39e and 31b)· εἰ οὖν ὁρᾷ, ὕστερος. ἢ δυνατὸν τὸ « ὁρᾷ » οὕτως εἰρῆσθαι, ὡς ἐν τῇ ὁράσει τῆς ὑποστάσεως γινομένης· οὐ γὰρ ἄλλος, ἀλλὰ πάντα ἕν, καὶ ἡ νόησις δὲ ψιλὴν ἔχει σφαῖραν, τὸ δὲ ζῷον ζῴου σφαῖραν (cj. Steinhart: σφαῖρα MSS) 39 ἡ δὲ πάντων φρόνησις καὶ ὁ πᾶς ν. ἐπὼν καὶ συνὼν καὶ ὁμοῦ ὢν ἀγαθώτερον αὐτὸ (sc. τὸ ζῷον) ἐπιχρώσας καὶ συγκερασάμενος φρόνησιν σεμνότερον αὐτοῦ τὸ κάλλος παρέχεται VI 6,18,20.36.52 (v. εἶναι,i) τίνες οὖν ἀρχαί (sc. τοῦ λογισμοῦ τοῦ θεοῦ); ἢ γὰρ αἴσθησις ἢ ν.. ἀλλὰ αἴσθησις μὲν οὔπω· ν. ἄρα. ἀλλ' εἰ ν. αἱ προτάσεις, τὸ συμπέρασμα ἐπιστήμη· περὶ αἰσθητοῦ οὐδενὸς ἄρα VI 7,1, 23-24 διὸ καὶ ἐντεῦθεν (from its causative power) ἄν τις οὐχ ἧττον καταμάθοι τὴν νοῦ φύσιν, ἣν καὶ πλέον τῶν ἄλλων ὁρῶμεν· οὐδ' ὣς ὅσον ἐστὶ τὸ νοῦ χρῆμα ὁρῶμεν. τὸ μὲν γὰρ « ὅτι » δίδομεν αὐτὸν ἔχειν, τὸ δὲ « διότι » οὐκέτι, ἤ, εἰ δοίημεν, χωρίς VI 7,2,2-3 ἀργὸν μὲν γὰρ ὂν καὶ ζωὴν <μὴ> (add. Theiler) ἔχον τὸ « διὰ τί » οὐ πάντως ἔχει, εἶδος δὲ ὂν καὶ νοῦ ὂν πόθεν ἂν λάβοι τὸ « διὰ τί »; εἰ δὲ παρὰ νοῦ τις λέγοι, οὐ χωρίς ἐστιν, εἴ γε καὶ αὐτό ἐστιν· εἰ οὖν δεῖ ἔχειν ταῦτα μηδενὶ ἐλλείποντα, μηδὲ τῷ « διὰ τί » ἐλλείπειν. ν. δὲ ἔχει τὸ διὰ

τί οὕτως ἕκαστον τῶν ἐν αὐτῷ· τὰ δὲ ἐν αὐτῷ αὐτὸς ἕκαστον ἂν εἴη τῶν ἐν αὐτῷ, ὥστε μηδὲν προσδεῖσθαι τοῦ διὰ τί γέγονεν, ἀλλ' ὁμοῦ γέγονε (sc. ἕκαστον) καὶ ἔχει ἐν αὐτῷ τὴν τῆς ὑποστάσεως αἰτίαν. γεγονὸς δὲ οὐκ εἰκῇ οὐδὲν ἂν παραλελειμμένον ἔχοι, τοῦ « διὰ τί », ἀλλὰ πᾶν ἔχον ἔχει καὶ τὸ καλῶς ὁμοῦ τῆς αἰτίας. καὶ τοῖς ἄρα μεταλαμβάνουσιν οὕτω δίδωσιν, ὡς τὸ « διὰ τί » ἔχειν 21-23 τί γὰρ ἂν καὶ περιττὸν εἶχε νοῦ (sc. ἕκαστον), ὡς ἂν νοῦ νόημα μὴ τοιοῦτον ὄν, οἷον μὴ τέλεον γέννημα; εἰ οὖν τέλεον, οὐκ ἔστιν εἰπεῖν ὅτῳ ἐλλείπει, οὐδὲ διὰ τί τοῦτο οὐ πάρεστι. παρὸν ἄρα ἔχοις ἂν εἰπεῖν διότι πάρεστιν· ἐν ἄρα τῇ ὑποστάσει τὸ διὰ τί 47; 3,24.28 (v. τὸ αἰσθητικόν); 6,12 (v. ἄνθρωπος); 8,26-27 (v. δυάς) ἦν τοίνυν οὐχ ὡς ν. εἷς, ἀλλὰ πᾶς καὶ πάντας τοὺς καθ' ἕκαστα ν. ἔχων καὶ τοσοῦτος ὅσοι πάντες, καὶ πλείων 27-28 ἐκεῖ . . τὸ ἄνουν ν. ἦν, ἐπεὶ καὶ ὁ νοῶν ἵππον ν. ἐστι, κτλ VI 7,9,23-24.28-29 (v. νόησις,d) οὕτως οὐδὲ ν. τοιόσδε ἀπήλλακται τοῦ εἶναι ν.· ἐπεὶ οὐδὲ ὁ ν. ὁ κατὰ ὁτιοῦν ζῷον ἀπήλλακται αὖ τοῦ ν. εἶναι πάντων, οἷον καὶ ἀνθρώπου, εἴπερ ἕκαστον μέρος, ὅ τι ἂν λάβῃς, πάντα ἀλλ' ἴσως ἄλλως. ἐνεργείᾳ μὲν γὰρ ἐκεῖνο, δύναται δὲ πάντα· λαμβάνομεν δὲ καθ' ἕκαστον τὸ ἐνεργείᾳ· τὸ δ' ἐνεργείᾳ ἔσχατον, ὥστε τοῦδε τοῦ νοῦ (a particular νοῦς) τὸ ἔσχατον ἵππον εἶναι, καὶ ᾗ ἔληξε προϊὼν ἀεὶ εἰς ἐλάττω ζωήν, ἵππον εἶναι, ἄλλον δὲ (sc. νοῦν) κατωτέρω λῆξαι 30-36 ὥστε, ᾗ κατῆλθεν ὁ ν., ταύτῃ πάλιν αὖ τῷ αὐτάρκει τῆς φύσεως ἀνακύψαι καὶ εὑρεῖν κτλ 44; 10,3.6 (v. ζῷον,c); 12,21; 13,1 (v. ἁπλοῦς, d) ν. τε κινούμενος κινεῖται μὲν ὡσαύτως καὶ κατὰ ταὐτὰ καὶ ὅμοια ἀεί, οὐ μέντοι ταὐτὸν καὶ ἕν τι ἐν μέρει, ἀλλὰ πάντα. ἐπεὶ καὶ τὸ ἐν μέρει αὖ οὐχ ἕν, ἀλλὰ καὶ τοῦτο ἄπειρον διαιρούμενον. ἀπὸ τίνος δέ φαμεν (sc. κινεῖσθαι ἂν τὸν νοῦν) ἂν καὶ πάντως ἐπὶ τί ὡς ἔσχατον; τὸ δὲ μεταξὺ πᾶν ἄρα ὥσπερ γραμμή, ἢ ὥσπερ ἕτερον σῶμα ὁμοιομερές τι καὶ ἀποίκιλον; ἀλλὰ τί τὸ σεμνόν; 4 εἰ μὲν οὖν ἔστι πρὸ αὐτοῦ τὰ ἕτερα πάντα, ἤδη πάσχοι ἂν ὑπ' αὐτῶν· εἰ δὲ μὴ ἔστιν, οὗτος τὰ πάντα ἐγέννα, μᾶλλον δὲ τὰ πάντα ἦν. οὐκ ἔστιν ἄρα τὰ ὄντα εἶναι μὴ νοῦ ἐνεργήσαντος, ἐνεργήσαντος δὲ ἀεὶ ἄλλο μετ' ἄλλο καὶ οἷον πλανηθέντος πᾶσαν πλάνην καὶ ἐν αὐτῷ πλανηθέντος, οἷα ν. ἐν αὐτῷ ὁ ἀληθινὸς πέφυκε πλανᾶσθαι· πέφυκε δ' ἐν οὐσίαις πλανᾶσθαι συνθεουσῶν τῶν οὐσιῶν ταῖς αὐτοῦ πλάναις. πανταχοῦ δ' αὐτός ἐστι· μένουσαν οὖν ἔχει τὴν πλάνην. ἡ δὲ πλάνη αὐτῷ ἐν « τῷ τῆς ἀληθείας πεδίῳ » (cf. Plat. Phaedr. 248b), οὗ οὐκ ἐκβαίνει. ἔχει δὲ καταλαβὼν πᾶν καὶ αὐτῷ ποιήσας εἰς τὸ κινεῖσθαι οἷον τόπον, καὶ ὁ τόπος ὁ αὐτὸς τῷ οὗ τόπος· . . ἀεὶ δ' ἔχων (sc. ὁ ν. ἐστί) τὴν αὐτὴν διὰ τῶν οὐκ αὐτῶν διέξοδον, ὅτι μὴ ἀμείβει, ἀλλὰ σύνεστι τοῖς ἄλλοις τὸ ὡσαύτως καὶ κατὰ ταὐτά· ἐὰν γὰρ μὴ περὶ τὰ ἄλλα τὸ ὡσαύτως καὶ κατὰ τὰ αὐτά, ἀργεῖ πάντῃ καὶ τὸ ἐνεργείᾳ καὶ ἡ ἐνέργεια οὐδαμοῦ. ἔστι δὲ καὶ τὰ ἄλλα αὐτός, ὥστε πᾶς αὐτός. καὶ εἴπερ αὐτός, πᾶς, εἰ δὲ μή, οὐκ αὐτός. εἰ δὲ πᾶς αὐτός, καὶ πᾶς, ὅτι τὰ πάντα, καὶ οὐδέν ἐστιν, ὅ τι μὴ συντελεῖ εἰς τὰ πάντα, οὐδέν ἐστιν αὐτοῦ, ὅ τι μὴ ἄλλο, ἵνα ἄλλο ὂν καὶ τοῦτο συντελῇ. εἰ γὰρ μὴ ἄλλο, ἀλλὰ ἄλλῳ ταὐτόν, ἐλαττώσει αὐτοῦ τὴν οὐσίαν οὐ παρεχόμενον εἰς συντέλειαν αὐτοῦ φύσιν VI 7,13,28-31 ἔστι δὲ καὶ παραδείγμασι νοεροῖς χρώμενον εἰδέναι οἷόν ἐστι ν., ὡς οὐκ ἀνέχεται οἷον κατὰ μονάδα μὴ ἄλλος εἶναι VI 7,14,2 καὶ τὸ ἄπειρον οὕτως ἐν νῷ, ὅτι ἓν (cj. Igal,H-S²: ἂν MSS) ὡς « ἓν πολλά » (cf. Plat. Parm. 144e) οὐχ ὡς ὄγκος (Porph.: οἶκος MSS) εἷς, ἀλλ' ὡς λόγος πολὺς ἐν αὐτῷ, ἐν ἑνὶ σχήματι νοῦ οἷον περιγραφῇ ἔχων περιγραφὰς ἐντὸς καὶ σχηματισμοὺς αὖ ἐντὸς καὶ δυνάμεις καὶ νοήσεις καὶ τὴν διαίρεσιν μὴ κατ' εὐθύ, ἀλλ' εἰς τὸ ἐντὸς ἀεί, οἷον τοῦ παντὸς ζῴου ἐμπεριεχομένας ζῴων φύσεις, καὶ πάλιν αὖ ἄλλας ἐπὶ τὰ μικρότερα τῶν ζῴων καὶ εἰς τὰς ἐλάττους δυνάμεις, ὅπου στήσεται εἰς εἶδος ἄτομον 11-13 νοῦ ἴχνος (sc. ἐνταῦθα) VI 7,15,8 ὅ τι οὖν ἐγέννα (sc. ὁ ν.), ἀγαθοῦ ἐκ δυνάμεως ἦν καὶ ἀγαθοειδὲς ἦν, καὶ αὐτὸς ἀγαθὸς ἐξ ἀγαθοειδῶν, ἀγαθὸν ποικίλον. διὸ καὶ εἴ τις αὐτὸν ἀπεικάζει σφαίρᾳ ζώσῃ ποικίλῃ, εἴτε παμπρόσωπόν τι χρῆμα λάμπον ζῶσι προσώποις εἴτε ψυχὰς τὰς καθαρὰς πάσας εἰς τὸ αὐτὸ συνδραμούσας φαντάζοιτο οὐκ ἐνδεεῖς, ἀλλὰ πάντα τὰ αὐτῶν ἐχούσας, καὶ νοῦν τὸν πάντα ἐπ' ἄκραις αὐταῖς ἱδρυμένον, ὡς φέγγει νοερῷ καταλάμπεσθαι τὸν τόπον — φανταζόμενος μὲν οὕτως ἔξω πως ἄλλος ὢν ὁρῴη ἄλλον· δεῖ δὲ αὐτὸν (cj. Igal,H-S²: ἑαυτὸν MSS) ἐκεῖνο γενόμενον τὴν θέαν ἑαυτὸν ποιήσασθαι 29 τί οὖν τὸ « ἓν (sc. τὸ τῆς ζωῆς) ὡρίσθη »; ν.· ὁρισθεῖσα γὰρ ζωὴ ν.. τί δὲ τὸ « πολλά »; νόες πολλοί. πάντα οὖν νόες, καὶ ὁ μὲν πᾶς ν., οἱ δὲ ἕκαστοι νοῖ. ὁ δὲ πᾶς ν. ἕκαστον περιέχων ἄρα ταὐτὸν ἕκαστον περιέχει; ἀλλ' ἕνα ἂν περιεῖχεν. εἰ οὖν πολλοί, διαφορὰν δεῖ εἶναι. πάλιν οὖν πῶς ἕκαστος διαφορὰν ἔσχεν; ἢ ἐν τῷ καὶ εἷς ὅλως γενέσθαι εἶχε τὴν διαφοράν. οὐ γὰρ ταὐτὸν ὁτουοῦν νοῦ τὸ πᾶν VI 7,17,25-32 ὁ δὲ γενόμενος ν. αὐτὰ ἀνεφάνη τὰ πάντα. ὁ δὲ ἐπικάθηται αὐτοῖς, οὐχ ἵνα ἱδρυθῇ, ἀλλ' ἵνα ἱδρύσῃ « εἶδος εἰδῶν » (cf. Aristot. De An. 432a) τῶν πρώτων ἀνείδεον αὐτό (sc. τὸ ἕν) 34; 25,27 (v. ἀνωτέρω) οὐκ ἐν πράξει τοῦτο ἔσται, ἀλλ' ἐν νῷ στήσεται τοῦτο (sc. τὸ ἐφ' ἡμῖν) VI 8,2,35: 3,19 (v. αὐτεξούσιος) εἰς ἀρχὴν τὸ ἐφ' ἡμῖν καλλίστην ἀνάγοντες τὴν τοῦ νοῦ ἐνέργειαν καὶ τὰς ἐντεῦθεν προτάσεις ἐλευθέρας ὄντως δώσομεν, καὶ τὰς ὀρέξεις τὰς ἐκ τοῦ νοεῖν ἐγειρομένας οὐκ ἀκουσίους εἶναι δώσομεν, καὶ τοῖς θεοῖς τοῦτον ζῶσι τὸν τρόπον [ὅσοι νῷ καὶ ὀρέξει τῇ κατὰ

*νοῦν ζῶσι*] (del. H-S) *φήσομεν παρεῖναι* 22-26 *περὶ τοῦ νοῦ αὐτοῦ ἀπορητέον, εἰ ὅπερ πέφυκε καὶ ὡς πέφυκεν ἐνεργῶν λέγοιτο ἂν τὸ ἐλεύθερον ἔχειν καὶ τὸ ἐπ' αὐτῷ, οὐκ ἔχων ἐπ' αὐτῷ τὸ μὴ ποιεῖν* VI 8,4,4 *καὶ εἰ ἄλλην δὲ ὁ ν. ἀρχὴν ἔχει, ἀλλ' οὐκ ἔξω αὐτοῦ, ἀλλ' ἐν τῷ ἀγαθῷ. καὶ εἰ κατ' ἐκεῖνο τὸ ἀγαθόν, πολὺ μᾶλλον* <*τὸ*> (add. Kirchhoff) *ἐπ' αὐτῷ καὶ τὸ ἐλεύθερον· ἐπεὶ καὶ τὸ ἐλεύθερον καὶ τὸ ἐπ' αὐτῷ τις ζητεῖ τοῦ ἀγαθοῦ χάριν. εἰ οὖν κατὰ τὸ ἀγαθὸν ἐνεργεῖ, μᾶλλον ἂν τὸ ἐπ' αὐτῷ· ἤδη γὰρ ἔχει τὸ πρὸς αὐτὸ ἐξ αὐτοῦ ὁρμώμενον* (cj. Kirchhoff: *ὁρώμενον* MSS) *καὶ ἐν αὐτῷ, εἴπερ πρὸς αὐτό, ὃ ἄμεινον ἂν εἴη αὐτῷ ἐν αὐτῷ ἂν εἶναι, εἴπερ πρὸς αὐτό* 33 *ἆρ' οὖν ἐν νῷ μόνῳ νοοῦντι τὸ αὐτεξούσιον καὶ τὸ ἐπ' αὐτῷ καὶ ἐν νῷ τῷ καθαρῷ ἢ καὶ ἐν ψυχῇ κτλ*; VI 8,5,1-2.34.37 (v. *ἀρετή*,j); 6,5.22 (v. *ἀρετή*,j) *ὁ δὲ θεωρητικὸς ν. καὶ πρῶτος οὕτω τὸ ἐφ' αὐτῷ* (sc. *ἔχει*), *ὅτι τὸ ἔργον αὐτοῦ μηδαμῶς ἐπ' ἄλλῳ, ἀλλὰ πᾶς ἐπέστραπται πρὸς αὐτὸν καὶ τὸ ἔργον αὐτοῦ αὐτὸς καὶ ἐν τῷ ἀγαθῷ κείμενος ἀνενδεὴς καὶ πλήρης ὑπάρχων καὶ οἷον κατὰ βούλησιν ζῶν· ἡ δὲ βούλησις ἡ νόησις, βούλησις δ' ἐλέχθη, ὅτι κατὰ νοῦν· ἡ* (cj. Igal,H-S²: *καὶ* MSS) *γὰρ λεγομένη βούλησις τὸ κατὰ νοῦν μιμεῖται. ἡ γὰρ βούλησις θέλει τὸ ἀγαθόν· τὸ δὲ νοεῖν ἀληθῶς ἐστιν ἐν τῷ ἀγαθῷ. ἔχει οὖν ἐκεῖνος, ὅπερ ἡ βούλησις θέλει καὶ οὗ τυχοῦσα ἂν ταύτῃ νόησις γίνεται. εἰ οὖν βουλήσει τοῦ ἀγαθοῦ τίθεμεν* (cj. Theiler: *ἐτίθεμεν* MSS) *τὸ ἐφ' ἡμῖν, τὸ ἤδη ἐν ᾧ θέλει ἡ βούλησις εἶναι ἱδρυμένον πῶς οὐ τὸ ἐφ' αὐτῷ ἔχει; ἢ μεῖζον εἶναι θετέον, εἰ μή τις ἐθέλει εἰς τοῦτο ἀναβαίνειν τὸ ἐφ' αὐτῷ* 32-38 *ὅπου* (sc. brought under the conception of human freedom) *καὶ ν. μόλις, ὅμως δὲ βίᾳ εἵλκετο* VI 8,7,10.48; 9,30-32 (v. *συμβαίνειν*,a2); 10,13.16-17 (v. *τύχη*,a); 17,11 (v. *πρόνοια*) *εἰ μὲν οὖν ν. πρὸ πάντων καὶ ἀρχὴ ὁ τοιοῦτος ν., οὐκ ἂν εἴη ὡς ἔτυχε, πολὺς μὲν ὤν, συνῳδὸς δὲ αὐτῷ καὶ οἷον εἰς ἓν συντεταγμένος. οὐδὲν γὰρ πολὺ καὶ πλῆθος συντεταγμένον καὶ λόγοι πάντες καὶ περιληφθέντες ἑνὶ διὰ παντὸς ὡς ἔτυχε καὶ ὡς συνέβη, ἀλλὰ πόρρω φύσεως τῆς τοιαύτης καὶ ἐναντίον, ὅσον τύχη ἐν ἀλογίᾳ κειμένη λόγῳ* 12-13 cf. *ὁ ν., ὃς οὐ τύχη, κτλ* VI 8,18,36 VI 9,2,5 (v. *οὐσία*,b).24-25 (v. *ὄν*,j) *μετὰ δὲ ταῦτα νοῦν λαβεῖν* (sc. *δεῖ*) *ἕτερον τοῦ λογιζομένου καὶ λογιστικοῦ καλουμένου, καὶ τοὺς λογισμοὺς ἤδη οἷον ἐν διαστάσει καὶ κινήσει, καὶ τὰς ἐπιστήμας λόγους ἐν ψυχῇ τὰς τοιαύτας ἐν φανερῷ ἤδη γεγονυίας τῷ ἐν τῇ ψυχῇ γεγονέναι τὸν νοῦν τῶν ἐπιστημῶν αἴτιον. καὶ νοῦν ἰδόντα οἷον αἰσθητὸν τῷ ἀντιληπτὸν εἶναι ἐπαναβεβηκότα τῇ ψυχῇ καὶ πατέρα αὐτῆς ὄντα κόσμον νοητόν, νοῦν ἥσυχον καὶ ἀτρεμῆ κίνησιν φατέον πάντα ἔχοντα ἐν αὐτῷ καὶ πάντα ὄντα, πλῆθος ἀδιάκριτον καὶ αὖ διακεκριμένον. οὔτε γὰρ διακέκριται ὡς οἱ λόγοι οἱ ἤδη καθ' ἓν νοούμενοι, οὔτε συγκέχυται τὰ ἐν αὐτῷ· πρόεισι γὰρ ἕκαστον χωρίς* VI 9,5,8-14; 9,17 (v. *ἐνέργεια*,d); 11,48 (v. *κουφίζεσθαι*)

**b**) Passages dealing with the relation of *ψυχή* to *νοῦς*: I 2,3,18 *τὸ πρὸς νοῦν ἐνεργεῖν, κτλ* I 2,6,24 (v. *δικαιοσύνη*).25; 7,6 (v. *ὅρασις*) *ψυχὴ .. ἀναχθεῖσα πρὸς νοῦν ἐπὶ τὸ μᾶλλόν ἐστι καλόν* I 6,6,16 *ν. καὶ τὰ παρὰ νοῦ τὸ κάλλος αὐτῇ οἰκεῖον καὶ οὐκ ἀλλότριον* 17.27 (v. *καλός*,a) *ψυχὴ πρὸς αὐτὸ* (sc. *τὸ ἀγαθόν*) *διὰ νοῦ* I 7,2,2.7 (v. *ψυχή*,a, *ἀγαθοειδής*) I 8,4,25 (v. *νεύειν*,b) *ὁρισθεῖσα νῷ* 28 *ἔχουσά τι ἀγαθὸν νοῦ ἴχνος* I 8,11,17 *δεῖ τοίνυν καὶ αὐτὴν παρὰ νοῦ ἔχουσαν διδόναι* II 3,17,14.15-16 (v. *ψυχή*,c1); 18,14-15 (v. *ψυχή*,b1) II 4,3,4 (v. *λόγος*,b) *εἶτα ψυχὴν μετὰ νοῦν κτλ* II 9,1,15.60-63; 13,33 (v. *ψυχή*,b1) III 3,3,22 (v. *ψυχή*,b1) *τὸ γὰρ εὐθὺς ἐκ νοῦ πεφυκὸς καθαρὸν καὶ αὐτό, κτλ* III 5,2,27.30 (v. *ψυχή*,b1); 8,19 (v. *ψυχή*,b1); 9,7 (v. *λόγος*,c).11 (v. *ἀγλάισμα*).30 (v. *ψυχή*,b1) III 8,8,2 (v. *θεωρία*) cf. 6 III 9,5,2-3 (v. *ψυχή*,b1) IV 3,5,9 (v. *ψυχή*,e3) *λόγοι νῶν οὖσαι* 10.16 (v. *μερίζεσθαι*).17 (v. *λόγος*,c) *ἔστι δὲ καὶ τὴν μὲν πρὸς τὸν ὅλον νοῦν ἰδεῖν, τὰς δὲ μᾶλλον πρὸς τοὺς αὐτῶν τοὺς ἐν μέρει* IV 3,6,16 *ταύτῃ δέ* (sc. *τῇ ψυχῇ*), *ᾗπερ καί εἰσι καὶ ὃ λέγονται* (sc. *θεοί*), *πρὸς νοῦν βλέπειν* IV 3,11,26 *οὐκ ἀποτμηθεῖσαι οὐδ' αὗται* (sc. *ἀνθρώπων ψυχαί*) *τῆς ἑαυτῶν ἀρχῆς τε καὶ νοῦ. οὐ γὰρ μετὰ τοῦ νοῦ ἦλθον, κτλ* IV 3,12,4 *παρὰ νῶν τῶν ἄλλων ψυχὰς διδόντων* IV 3,14,4 *ὅταν ἐν ἐκείνῳ ᾖ τῷ τόπῳ, εἰς ἕνωσιν ἐλθεῖν τῷ νῷ ἀνάγκη, κτλ* IV 4,2,26 cf. 28 IV 4,4,1 (v. *τὸ ἀγαθόν*); 13,17 (v. *κομίζεσθαι*); 16,19 (v. *ἐνέργεια*,b) IV 6,2,23 (v. *ψυχή*,e1*α*) IV 7,13,14 (v. *ἐμπαθής*) IV 8,3,23 *προσλαβοῦσα γὰρ .. καὶ ἄλλο, .. ν. οὐκ ἔμεινεν* 24; 4,27 (v. *αἴσθησις*,a1).34 (v. *συνεῖναι*); 8,13 (v. *ψυχή*,d4).15 (v. *λογισμός*) *εἰκών τις .. νοῦ, .. λόγος νοῦ* V 1,3,7-8 *οὖσα .. ἀπὸ νοῦ νοερά ἐστι, καὶ ἐν λογισμοῖς ὁ ν. αὐτῆς κτλ* 12-13.15 (v. *ὑπόστασις*) *ὅ τε ἐνεργείᾳ λόγος νοῦ αὐτῇ ὁρωμένου* 16.17 (v. *ἐνορᾶν*) *ν. οὖν ἐπιμᾶλλον θειοτέραν ποιεῖ καὶ τῷ πατὴρ εἶναι καὶ τῷ παρεῖναι* 20.23-24 (v. *ὕλη*,b1) *ἡ ψυχὴ λόγος νοῦ καὶ ἐνέργειά τις, κτλ* V 1,6,45 *ὡς γὰρ εἴδωλον νοῦ — ταύτῃ καὶ εἰς νοῦν βλέπειν δεῖ* 47 *μεταξὺ οὐδέν, ὡς οὐδὲ ψυχῆς καὶ νοῦ* 49 *ψυχὴν γὰρ γεννᾷ ν., ν. ὢν τέλειος* V 1,7,37; 8,10 (v. *Πλάτων*) *τελεία δὲ ἡ νοῦν ἔχουσα* V 1,10,12 *ἐπεὶ καὶ τὸ πρὸ τούτου* (i.e. the higher part of the soul) *τὸ νοῦ ἐξηρτημένον μένειν τὸν νοῦν ἐφ' ἑαυτοῦ ἐᾷ* V 2,1,28 *ἀπὸ νοῦ* (sc. *ἡ κίνησις*) *ὡς νοῦν οἰκεῖον ἐχούσης* V 2,2,9 *ἡ δὲ* (sc. *ψυχῆς δύναμις*) *μέχρι νοῦ, οὐ τόπῳ· οὐδὲν γὰρ ἐν τόπῳ ἦν· ὁ δὲ ν. πολὺ μᾶλλον οὐκ ἐν τόπῳ, ὥστε οὐδὲ αὕτη* 19 *καὶ ν. ὁ τῆς ψυχῆς μέχρι τοῦδε* (sc. *τῆς ἀναμνήσεως*) *ἱστάμενος τῇ δυνάμει ἢ καὶ εἰς ἑαυτὸν*

στρέφεται καὶ γιγνώσκει ἑαυτόν; ἢ ἐπὶ τὸν νοῦν ἀνενεκτέον τοῦτο. γνῶσιν μὲν γὰρ ἑαυτοῦ τούτῳ τῷ μέρει διδόντες — νοῦν γὰρ αὐτὸν φήσομεν — καὶ ὅπῃ διοίσει τοῦ ἐπάνω ζητήσομεν, κτλ V 3,2,14-17; 3,11 (v. ἐπιλάμπειν) τὸ γὰρ καθαρὸν τῆς ψυχῆς τοῦτο (sc. τὸ διανοητικόν) καὶ νοῦ δέχεται ἐπικείμενα ἴχνη 12.13 (v. ψυχή,e1β) τί οὖν κωλύει ἐν ψυχῇ νοῦν καθαρὸν εἶναι; οὐδὲν φήσομεν· ἀλλ᾽ ἔτι δεῖ λέγειν ψυχῆς τοῦτο; ἀλλ᾽ οὐ ψυχῆς μὲν φήσομεν, ἡμέτερον δὲ νοῦν φήσομεν, κτλ 22-24. 39; 6,15 (v. ψυχή,e3) ἔστιν ὁ μὲν ν. ἐν αὐτῷ ἐνέργεια, ἡ δὲ ψυχὴ τὸ μὲν ὅσον πρὸς νοῦν αὐτῆς οἷον εἴσω, τὸ δ᾽ ἔξω νοῦ πρὸς τὸ ἔξω V 3,7,26-27; 8,35 (v. ζωή,c) ἐάν τις αὐτὴν (cj. Kirchhoff,H-S²: αὐτὸν MSS) ἀπαιτῇ ὁποῖον ὁ ν. ἐκεῖνός ἐστιν ὁ τέλεος καὶ πᾶς, ὁ γινώσκων πρώτως ἑαυτόν, ἐν τῷ νῷ αὐτὴν πρῶτον γενομένην ἢ παραχωρήσασαν τῷ νῷ τὴν ἐνέργειαν, κτλ 49-51.55 (v. ψυχή,e5); 9,2.15 (v. ψυχή,b1). 20 (v. συλλογιστέα) V 5,9,31 (v. ψυχή,b1) ψυχὴ μὲν γὰρ ἐπακτὸν νοῦν ἔχει ἐπιχρωννύντα αὐτὴν νοερὰν οὖσαν, κτλ V 6,4,16 V 9,2,21 (v. φρόνησις) τὸ δὲ (sc. ἐν τῇ ψυχῇ) εἶδος, ὁ ν. ὁ ἐν αὐτῇ, ὁ μὲν ὡς ἐπὶ τῷ χαλκῷ μορφή, ὁ δὲ οἷος ὁ τὴν μορφὴν ἐν τῷ χαλκῷ ποιήσας V 9,3,22 cf. νοῦν δὲ τὸν μὲν ὡς εἶδος τῆς ψυχῆς, τὸν κατὰ τὴν μορφήν, τὸν δὲ τὴν μορφὴν παρέχοντα ὡς τὸν ποιητὴν τοῦ ἀνδριάντος, ᾧ πάντα ἐνυπάρχει, ἃ δίδωσιν 33 ν. ψυχῆς ἕτερον καὶ κρεῖττον V 9,4,2.4.18 (v. ψυχή,b1); 14,10 (v. supra,a).21 (v. ψυχή,b1) ἐπεὶ καὶ ψυχὴ μετὰ νοῦν, καθόσον ψυχὴ ἔχουσα ἐν αὐτῇ (sc. τὰς ἰδέας), ἐν τῷ πρὸ αὐτῆς βέλτιον καθορᾷ VI 2,22,3.20 (v. ψυχή,b1) καὶ ἔστι ν. μὲν ὁ τοιοῦτος ('celle qui contient une âme', Bréhier) μέρος, καίπερ τὰ πάντα ἔχων, καὶ ὁ πᾶς <μέρος> καὶ οἱ αὐτοῦ (sc. νοῖ) μέρη ἐνεργείᾳ ὄντος αὐτοῦ ὄντες [μέρος] (transp. H-S), ψυχὴ δὲ μέρος μέρους, ἀλλ᾽ ὡς ἐνέργεια ἐξ αὐτοῦ. ὅτε μὲν γὰρ ἐν αὐτῷ ἐνεργεῖ, τὰ ἐνεργούμενα οἱ ἄλλοι νοῖ, ὅτε δὲ ἐξ αὐτοῦ, ψυχή 23-27 ἡ . . πρὸς τὸ ἄνω (sc. ἐνέργεια) ν. 30 VI 4,11,11 (v. διάφορος) VI 6,15,23 (v. ψυχή,e3) VI 7,13,1 (v. ἁπλοῦς,d); 15,29 (v. supra,a) καὶ ν. δὲ γίνεται πρὸς ψυχὴν οὕτως φῶς εἰς αὐτήν, ὡς ἐκεῖνος εἰς νοῦν· καὶ ὅταν καὶ οὗτος ὁρίσῃ τὴν ψυχήν, λογικὴν ποιεῖ δοὺς αὐτῇ ὧν ἔσχεν ἴχνος VI 7,17,36-37; 20,12-13 (v. ψυχή,e3) ἀλλ᾽ εἰ μὲν νοῦ μόνον ἐφίεται, τάχα ἂν πλείονος ἐδέησε λόγου δεικνύντων, ὡς οὐ τὸ ἔσχατον ὁ ν. καὶ νοῦ μὲν οὐ πάντα, ἀγαθοῦ δὲ πάντα 16-18 πρὸ τοῦδε οὐδὲ πρὸς τὸν νοῦν κινεῖται, καίπερ καλὸν ὄντα· ἀργόν τε γὰρ τὸ κάλλος αὐτοῦ, πρὶν τοῦ ἀγαθοῦ φῶς λάβῃ VI 7,22,10,13 (v. νωθής).19.21 (v. ἔρως) ν. ψυχῆς (sc. μᾶλλον εἶδος) VI 7,28,23 cf. VI 7,33,36 ν. γενόμενος κτλ VI 7,35,4 (v. νοεῖν,b).34 (v. ψυχή,b1); 41, 18 (v. νόησις,e2α and d); 42,21 (v. ἀναστᾶσθαι) VI 8,5,2 (v. supra,a); 7,1.3 (v. ψυχή,e3) VI 9,3, 23 (v. infra,c); 5,6 (v. ψυχή,b1).12 (v. supra,a)

c) νοῦς in relation to τὸ πρῶτον: I 3,5,7 (v. ἐπέκεινα,a) I 6,6,26 (v. καλός,a) αἴτιος καὶ νοῦ καὶ τοῦ εἶναι I 6,7,11 ἐπέκεινα νοῦ καὶ νοήσεως I 7,1,20 ν. δὲ μετὰ τἀγαθόν I 7,2,8 καὶ ν. (sc. τὸ ἀγαθόν ἐστιν), ὅτῳ νοῦ μέτεστιν· ὥστε ὅτῳ ζωὴ μετὰ νοῦ, διχῶς καὶ ἐπ᾽ αὐτό 9-10 δοὺς ἐξ αὐτοῦ νοῦν καὶ οὐσίαν καὶ ψυχὴν καὶ ζωὴν καὶ περὶ νοῦν ἐνέργειαν I 8,2,6-7 εἶτα νοῦν μετ᾽ αὐτὸ καὶ τὸ νοοῦν πρώτως II 9,1,14 ἕνα νοῦν τὸν αὐτὸν ὡσαύτως ἔχοντα, . . μιμούμενον τὸν πατέρα II 9,2,2; 13,33 (v. supra.a) εἰ οὖν δεῖ μὴ συνεζεῦχθαι τὸ νοητόν, οὐδὲ ν. ἔσται. εἰ οὖν μὴ ν., ἀλλ᾽ ἐκφεύξεται τὰ δύο, τὸ πρότερον τῶν δύο τούτων ἐπέκεινα νοῦ εἶναι. τί οὖν κωλύει τὸ νοητὸν αὐτὸ εἶναι; ἢ ὅτι καὶ τὸ νοητὸν συνέζευκτο τῷ νῷ. εἰ οὖν μήτε ν. μήτε νοητὸν εἴη, τί ἂν εἴη; ἐξ οὗ ὁ ν. καὶ τὸ σὺν αὐτῷ νοητὸν φήσομεν III 8,9,8-12.15 (v. νοεῖν,c) καὶ γὰρ αὖ τῆς γνώσεως διὰ νοῦ τῶν ἄλλων γινομένης καὶ τῷ νῷ νοῦν γινώσκειν δυναμένων ὑπερβεβηκὸς τοῦτο τὴν νοῦ φύσιν τίνι ἂν ἁλίσκοιτο ἐπιβολῇ ἀθρόᾳ; 19-21 τί οὖν ἐστιν ὃ κομιούμεθα νοῦν παραστησάμενοι; ἢ δεῖ τὸν νοῦν οἷον εἰς τοὐπίσω ἀναχωρεῖν καὶ οἷον ἑαυτὸν ἀφέντα τοῖς εἰς ὄπισθεν αὐτοῦ ἀμφίστομον ὄντα, † κἀκεῖνα, εἰ ἐθέλοι ἐκεῖνο ὁρᾶν, μὴ πάντα νοῦν εἶναι 29-32 ἀρχὴ νοῦ 39 εἰ . . νοῦν ἐγέννησεν, ἁπλούστερον νοῦ δεῖ αὐτὸ εἶναι 43-44 τῇ δὲ τοῦ νοῦ ὄψει τὸ ἀγαθὸν τὸ πληροῦν. εἰ γὰρ αὐτὸς τὸ ἀγαθόν, τί ἔδει ὁρᾶν ἢ ἐνεργεῖν ὅλως; III 8,11, 8.14 (v. νοεῖν,c) ὁ μὲν γὰρ ν. τοῦ ἀγαθοῦ, τὸ δ᾽ ἀγαθὸν οὐ δεῖται ἐκείνου· ὅθεν καὶ τυγχάνων τοῦ ἀγαθοῦ ἀγαθοειδὲς γίνεται καὶ τελειοῦται παρὰ τοῦ ἀγαθοῦ, τοῦ μὲν εἴδους τοῦ ἐπ᾽ αὐτῷ παρὰ τοῦ ἀγαθοῦ ἥκοντος κτλ 15.21 (v. ἐπιθεῖν). 22 ὥστε ἐν μὲν τῷ νῷ ἡ ἔφεσις κτλ 23 οὐ τοίνυν οὐδὲ ν. (sc. τὸ ἀγαθόν) 25

μέγιστον δὲ μετ᾽ αὐτὸν ν. καὶ δεύτερον· καὶ γὰρ ὁρᾷ ὁ ν. ἐκεῖνον καὶ δεῖται αὐτοῦ μόνου· ἐκεῖνος δὲ τούτου οὐδέν· καὶ τὸ γεννώμενον ἀπὸ κρείττονος νοῦ νοῦν εἶναι, καὶ κρείττων ἁπάντων ν., ὅτι τἆλλα μετ᾽ αὐτόν V 1.6,41-44 ν. δὲ ὡσαύτως πρὸς ἐκεῖνον (sc. βλέπει), ἵνα ᾖ ν. 47; 7,1 (v. εἰκών,b) ἀλλ᾽ οὐ ν. ἐκεῖνο. πῶς οὖν νοῦν γεννᾷ; ἢ ὅτι τῇ ἐπιστροφῇ πρὸς αὐτὸ ἑώρα (sc. τὸ ἕν)· ἡ δὲ ὅρασις αὕτη ν. 5-6 ἐκεῖνο οὐδὲν μὲν τῶν ἐν τῷ νῷ, ἐξ αὐτοῦ δὲ πάντα 22.27 (v. γενεά); 8,7 (v. supra,a).10 (v. Πλάτων) εἶναι δὲ (sc. ἐν ἡμῖν δεῖ) καὶ τὴν νοῦ ἀρχὴν καὶ αἰτίαν καὶ θεόν V 1,11,7 ἐγένετο πρὸς αὐτὸ (sc. τὸ ἕν) βλέπον καὶ ν. οὗτος V 2,1,11.12 (v. θέα,c) ἐπεὶ οὖν ἔστη πρὸς αὐτό (sc. τὸ ἕν), ἵνα ἴδῃ, ὁμοῦ ν. γίνεται καὶ ὄν 13 ὁ ν. μένοντος τοῦ πρὸ αὐτοῦ ἐγένετο 17 ἢ ὁ μὲν ν. τοῦτο (sc. τὸ πρῶτον); τί οὖν; οὐχ ὁρᾷ ἑαυτόν; V 3,10,5.43 (v. προνοεῖν) διὸ καὶ ὁ ν. οὗτος ὁ πολύς, ὅταν τὸ ἐπέκεινα ἐθέλῃ νοεῖν, κτλ V 3,11,1 ὥστε ὥρμησε μὲν ἐπ᾽ αὐτὸ οὐχ

ὡς ν., ἀλλ' ὡς ὄψις οὔπω ἰδοῦσα (cj. Fic.: δοῦσα MSS), κτλ 4 τοῦτο δὲ ἤδη ν., ὅτε ἔχει, καὶ ὡς ν. ἔχει· πρὸ δὲ τούτου ἔφεσις μόνον καὶ ἀτύπωτος ὄψις. οὗτος οὖν ὁ ν. ἐπέβαλε μὲν ἐκείνῳ, λαβὼν δὲ ἐγένετο ν., ἀεὶ δὲ † ἐνδιάμενος καὶ γενόμενος καὶ ν. καὶ οὐσία καὶ νόησις, ὅτε ἐνόησε 11-14.16 (v. νόησις,d) ὥστε καὶ πρὸ νοῦ· καὶ γὰρ αὖ νοῦ ἐντὸς τὰ πάντα· ὥστε καὶ ταύτῃ πρὸ νοῦ 20-21 οὐ δὴ δεῖ, πρὸ ὧν ἐστι, τούτων ἕν τι εἶναι, οὐδὲ νοῦν αὐτὸν προσερεῖς 23 εἰ οὖν ν. (sc. ν. ἐστι), ὅτι πολύς ἐστι, καὶ τὸ νοεῖν αὐτὸ οἷον παρεμπεσόν, κἂν ἐξ αὐτοῦ ᾖ, πληθύει, δεῖ τὸ πάντῃ ἁπλοῦν καὶ πρῶτον ἁπάντων ἐπέκεινα νοῦ εἶναι. καὶ γὰρ εἰ νοήσει, οὐκ ἐπέκεινα νοῦ, ἀλλὰ ν. ἔσται· ἀλλὰ εἰ ν. ἔσται, καὶ αὐτὸ [τὸ] (del. Kirchhoff,H-S²) πλῆθος ἔσται 25-29 τοῦτο δὲ (sc. τὸ πλῆθος) τῷ μὲν νῷ συγχωροῦμεν, ᾧ καὶ τὸ νοεῖν ἑαυτὸ ἀπεδίδομεν, τῇ δὲ ἀρχῇ πάντων οὐκέτι V 3,12,7.15 (v. ἁπλοῦς,d) εἰ δὲ μή, οὐκ ἔσται ἡ πρώτη ἐνέργεια ὁ ν.· οὐ γὰρ οἷον προυθυμήθη νοῦν γενέσθαι, εἶτα ἐγένετο ν. κτλ (v. προθυμία) 27-28.29 τὸ δὲ ὥσπερ ἐπέκεινα νοῦ, οὕτως καὶ ἐπέκεινα γνώσεως 47 cf. ἐπέκεινα τοῦ σεμνοτάτου νοῦ V 3,13,3 ὅταν νοῦν καθαρὸν ἔχωμεν, χρώμενοι ὡς οὗτός ἐστιν ὁ ἔνδον ν., ὁ δοὺς οὐσίαν καὶ τὰ ἄλλα, ὅσα τούτου τοῦ στοίχου, αὐτὸς δὲ οἷος ἄρα, ὡς οὐ ταῦτα, κτλ V 3,14,14-15 κρείττων λόγου καὶ νοῦ καὶ αἰσθήσεως 18; 16,11 (v. κόσμος,b). 38 τὸν νοῦν τὸν ἐν τούτῳ (sc. τῷ δευτέρῳ), μίμημά τι τοῦ ἐν ἐκείνῳ ὄντος, ὅ τι δήποτέ ἐστι τοῦτο 41 τί οὖν ἐστι κρεῖττον . . νοῦ πάντα ἔχοντος . . καὶ νοῦ παντός; V 3,17,2-3 εἰ μὲν οὖν αὐτὸ ν. ἦν τὸ γεννῶν, νοῦ ἐνδεέστερον, προσεχέστερον δὲ νῷ καὶ ὅμοιον δεῖ εἶναι (sc. τὸ γεννώμενον)· ἐπεὶ δὲ ἐπέκεινα νοῦ τὸ γεννῶν, νοῦν εἶναι ἀνάγκη. διὰ τί δὲ οὐ ν. (sc. τὸ γεννῶν), οὗ ἐνέργειά ἐστι νόησις; V 4,2,1-3.42 V 5,8,9 (v. ὑπερέχειν,a) ἐστήξεται μὲν γὰρ ὁ ν. πρὸς τὴν θέαν (sc. τοῦ ἑνός) κτλ 10.16 (v. ἔρχεσθαι,c) εἶναι δὲ (sc. δεῖ) τὸν νοῦν τὸν ἐλθόντα καὶ τοῦτον εἶναι καὶ τὸν ἀπιόντα, ὅτι μὴ οἶδε ποῦ δεῖ μένειν καὶ ποῦ ἐκεῖνος μένει, ὅτι ἐν οὐδενί. καὶ εἰ οἷόν τε ἦν καὶ αὐτῷ τῷ νῷ μένειν μηδαμοῦ — οὐχ ὅτι ἐν τόπῳ· οὐδὲ γὰρ οὐδ' αὐτὸς ἐν τόπῳ, ἀλλ' ὅλως μηδαμοῦ — ἦν ἂν ἀεὶ ἐκεῖνον βλέπων· καίτοι οὐδὲ βλέπων, ἀλλ' ἓν ἐκείνῳ ὢν καὶ οὐ δύο. νῦν δέ, ὅτι ἐστὶ ν., οὕτω βλέπει, ὅτε βλέπει, τῷ ἑαυτοῦ μὴ νῷ 16-23; 9,31 εἰ δὲ μή (sc. ἀθρόως προσβαλεῖς καὶ ὅλον ἀπαγγελεῖς), ν. νοῶν ἔσῃ, κἂν τύχῃς ἐκεῖνός σε (cj. Müller,H-S²: δὲ MSS) ἐκφεύξεται, μᾶλλον δὲ σὺ αὐτόν V 5,10,9.13 (v. δύναμις,Ba); 13,10 V 6,2,2-3 (v. νοεῖν,c); 3,24 (v. νοεῖν,c) ἔτι ἄλλο ν. τοῦ ἀγαθοῦ· ἀγαθοειδὴς γὰρ τῷ τὸ ἀγαθὸν νοεῖν V 6,4,5 ν. δ' ἐν αὐτῷ οἰκεῖον ἔχει (sc. φῶς) οὐ φῶς ὢν μόνον, ἀλλ' ὅ ἐστι πεφωτισμένον ἐν τῇ αὐτοῦ οὐσίᾳ, κτλ 17 V 8,1,4 (v. πατήρ, b) ἢ καὶ νοῦ ἐπέκεινα δεῖ ἰέναι, ν. δὲ προέστηκε μὲν ἀρχῆς τῆς πρώτης ὡς πρὸς ἡμᾶς, ὥσπερ ἐν «προθύροις τἀγαθοῦ» (cf. Plat. Phileb. 64c) ἀπαγγέλλων ἐν αὐτῷ τὰ πάντα, ὥσπερ ἐκείνου τύπος μᾶλλον ἐν πλήθει ἐκείνου πάντῃ μένοντος ἐν ἑνί; V 9,2,24; 14,8 (v. supra,a)

VI 2,9,7 (v. τὸ ἕν,a) δύναμιν οὖν εἰς τὸ γεννᾶν εἶχε (sc. ὁ ν.) παρ' ἐκείνου καὶ τῶν αὐτοῦ πληροῦσθαι γεννημάτων διδόντος ἐκείνου ἃ μὴ εἶχεν αὐτός. ἀλλ' ἐξ ἑνὸς αὐτοῦ πολλὰ τούτῳ· ἣν γὰρ ἐκομίζετο δύναμιν ἀδυνατῶν ἔχειν συνέθραυε καὶ πολλὰ ἐποίησε τὴν μίαν, ἵν' οὕτω δύναιτο κατὰ μέρος φέρειν. . . καὶ νοῦν τὸν πάντα . . ἱδρυμένον, κτλ VI 7,15,29 ἄρα, ὅτε ἑώρα πρὸς τὸ ἀγαθόν, ἐνόει ὡς πολλὰ τὸ ἓν ἐκεῖνο καὶ ἓν ὂν αὐτὸς ἐνόει αὐτὸν πολλὰ μερίζων αὐτὸν παρ' αὑτῷ τῷ νοεῖν μὴ ὅλον ὁμοῦ δύνασθαι; ἀλλ' οὔπω ν. ἦν ἐκεῖνο βλέπων, ἀλλ' ἔβλεπεν ἀνοήτως. ἢ φατέον ὡς οὐδὲ ἑώρα πώποτε, ἀλλ' ἔζη μὲν πρὸς αὐτὸ καὶ ἀνήρτητο αὐτοῦ καὶ ἐπέστραπτο πρὸς αὐτό, ἡ δὴ κίνησις αὕτη πληρωθεῖσα τῷ ἐκεῖ κινεῖσθαι καὶ περὶ ἐκεῖνο ἐπλήρωσεν αὐτὸ καὶ οὐκέτι κίνησις ἦν μόνον, ἀλλὰ κίνησις διακορὴς καὶ πλήρης· ἑξῆς δὲ πάντα ἐγένετο καὶ ἔγνω τοῦτο ἐν συναισθήσει αὐτοῦ καὶ ν. ἤδη ἦν, πληρωθεὶς μέν, ἵν' ἔχῃ, ὃ ὄψεται, βλέπων δὲ αὐτὰ μετὰ φωτὸς παρὰ τοῦ δόντος ἐκεῖνα καὶ τοῦτο κομιζόμενος VI 7,16,13-20.28 (v. τὸ ἀγαθόν) οὔτε τὰ ὄντα οὔτε ν. ἐστιν (sc. ἡ τοῦ ἀγαθοῦ φύσις), ἀλλὰ αἴτιος τούτων καὶ . . εἰς τὸν νοῦν παρέχων (v. φῶς). πληρούμενος μὲν οὖν ἐγίνετο, πληρωθεὶς δὲ ἦν, καὶ ὁμοῦ ἀπετελέσθη καὶ ἑώρα. ἀρχὴ δὲ αὐτοῦ ἐκεῖνό τε ὃ (τε ὃ cj. Igal,H-S²: τὸ MSS) πρὶν πληρωθῆναι ἦν· ἑτέρα δὲ ἀρχὴ οἱονεὶ ἔξωθεν ἡ πληροῦσα ἦν, ἀφ' ἧς οἷον ἐτυποῦτο πληρούμενος. ἀλλὰ πῶς ταῦτα ἐν αὐτῷ καὶ αὐτός, οὐκ ὄντων ἐκεῖ ἐν τῷ πληρώσαντι οὐδ' αὖ ἐν αὐτῷ τῷ πληρουμένῳ; ὅτε γὰρ μήπω ἐπληροῦτο, οὐκ εἶχεν 29-31; 17,25 (v. supra,a) ἴχνος οὖν καὶ ν. ἐκείνου· ἐπεὶ δὲ ὁ ν. εἶδος καὶ ἐν ἐκτάσει (cj. Theiler: ἐκστάσει most MSS) καὶ πλήθει, ἐκεῖνος ἄμορφος καὶ ἀνείδεος· οὕτω γὰρ εἰδοποιεῖ VI 7,17,39.41 (v. λόγος,c) ἀλλ' ἀγαθοειδῆ κατὰ τί τὰ ἐν τῷ νῷ; ἆρα ᾗ εἶδος ἕκαστον ἢ ᾗ καλὰ ἢ τί; VI 7, 18,1.5.6.8.23.30 (v. ζωή,d); 20,9.11 καὶ τῶν μὲν μὴ ἐχόντων νοῦν οὐ πάντα νοῦν κτήσασθαι ζητεῖ, τὰ δ' ἔχοντα νοῦν οὐχ ἵσταται ἤδη, ἀλλὰ πάλιν τὸ ἀγαθὸν ζητεῖ, καὶ νοῦν μὲν ἐκ λογισμοῦ, τὸ δ' ἀγαθὸν καὶ πρὸ τοῦ λόγου. εἰ δὲ καὶ ζωῆς ἐφίεται καὶ τοῦ ἀεὶ εἶναι καὶ ἐνεργεῖν, οὐχ ᾗ ν. ἂν εἴη τὸ ἐφετόν, ἀλλ' ᾗ ἀγαθὸν καὶ ἀπὸ ἀγαθοῦ καὶ εἰς ἀγαθόν· ἐπεὶ καὶ ἡ ζωὴ οὕτως 19-23 εἶναι τὸν νοῦν καὶ τὴν ζωὴν ἐκείνην ἀγαθοειδῆ (q.v.), . . γίνεται δὲ πρὸς αὐτὰ (sc. τὰ ἐν τῷ νῷ) ἔρως ὁ σύντονος οὐχ ὅταν ᾖ ἅπερ ἐστίν, ἀλλ' ὅταν ἐκεῖθεν ἤδη ὄντα (cj. Fic.: ὂν MSS) ἅπερ ἐστὶν ἄλλο προσλάβῃ VI 7,21,2 ὁ νῷ φῶς παρέχει VI 7,23,1. 19.20 ἐμπνέον νοῦν 23; 24,2 (v. φῶς) νοῦν

ἕξις ψυχῆς VI 1,7,25 (v. πρός,Ca) οὐδ' ὅτι ψ. τοῦδε ἐστὶν ἢ ἐν ἑτέρῳ (sc. λεκτέον τὸ πρός τι) 26 περί τε ψυχὴν κάλλη καὶ αἴσχη VI 1,10, 26 (v. ποιότης); 12,3 τὰς δὲ τῆς ψυχῆς (sc. ποιότητας) πῶς (sc. δεῖ διελεῖν); 5; 17,12 (v. σχέσις); 27,40 (v. οὐσία,a).41 (v. ὕλη,a1).42-43 (v. ὕλη,a1); 29,29-30 (v. ὕλη,a1) τὴν δὲ ψυχὴν ἐθάρρει ὡς ἁπλοῦν εὑρὼν καὶ ἀναπαύσασθαι τῆς πορείας ἐλθὼν ἐπ' ἀρχήν. ταύτην τοίνυν τὴν ψυχήν, ἐπειδήπερ ἐκ τοῦ νοητοῦ τόπου προεχειρίσθη ἡμῖν, . ., λάβωμεν, πῶς τὸ ἓν τοῦτο πολλά ἐστι, κτλ VI 2,4,26-28 οὕτω καὶ ἐνταῦθα τὸ εἶναι ψυχῇ μετὰ τοῦ εἶναι ἔχει τὸ ψυχῇ εἶναι. ἆρ' οὖν ἄλλο τὸ εἶναι, ἄλλο δὲ τὸ λοιπόν, ὃ συμπληροῖ τὴν τῆς ψυχῆς οὐσίαν; καὶ τὸ μὲν ὄν, διαφορὰ δὲ ποιεῖ τὴν ψυχήν; ἢ τι ὂν μὲν ἡ ψ., οὐ μέντοι οὕτως, ὡς ἄνθρωπος λευκός, ἀλλ' ὥς τις οὐσία μόνον· τοῦτο δὲ ταὐτὸν τῷ μὴ ἔξωθεν τῆς οὐσίας ἔχειν ὃ ἔχει VI 2,5,21-24 ἀλλ' ἆρα οὐκ ἔξωθεν μὲν ἔχει τῆς ἑαυτοῦ (most MSS: ἑαυτῆς one MS.) οὐσίας, ἵνα ἡ μὲν κατὰ τὸ εἶναι ᾖ, ἡ δὲ κατὰ τὸ τοιόνδε εἶναι; ἀλλ' εἰ κατὰ τὸ τοιόνδε εἶναι καὶ ἔξωθεν τὸ τοιόνδε, οὐ τὸ ὅλον καθὸ ψ. ἔσται οὐσία, ἀλλὰ κατά τι, καὶ μέρος αὐτῆς οὐσία, ἀλλ' οὐ τὸ ὅλον οὐσία VI 2,6,4 ἆρ' οὖν οὕτως ἕν, ὡς ἕνα λόγον; ἢ τὸ ὑποκείμενον ἕν· οὕτω δὲ ἕν, ὡς αὖ δύο ἢ καὶ πλείω, ὅσα ἐστὶν ἡ ψ. τὰ πρῶτα 10 cf. VI 2,7,2-3 VI 2,9,7 (v. ἕν,a) ἐπεὶ (most MSS: ἐπειδὴ two MSS) . . ἡ . . ψυχῆς φύσις ἐν ἐκείνῳ τῷ νοητῷ καὶ οὐδ' ἁρμόσει οὐδ' εἰς οὐσίας τῆς ἐνταῦθα λεγομένης σύνταξιν, ἀφοριστέον, εἰ καὶ χαλεπῶς, ὅμως μὴν τῆς ἐνταῦθα πραγματείας VI 3,1,23; 22,18 (v. κίνησις,h) ὁμοίως γὰρ ἄν τις . . ζητήσειεν εὐλόγως, ὅπως κατὰ συμβεβηκὸς μεγεθύνεται. οὐ γὰρ δή, ὥσπερ ἡ ποιότης, οἷον γλυκύτης ἢ χρόα, κατὰ πᾶν τὸ σῶμα, οὕτω καὶ ἡ ψ. VI 4,1, 19 πῶς οὖν . . ψυχὰς πολλάς, εἰ . . ψ. μία; καίτοι ἄλλην μὲν τοῦ παντός, τὰς δὲ ἄλλας VI 4, 4,2-3 οὐδ' αὖ οὕτως μεῖζον νομιστέον τῇ ποσοῦ μετρήσει, ἐπεὶ οὐδ' ἐπὶ τῆς ψυχῆς· οὕτω τὸ μέγα καὶ τὸ μεῖζον τοῦ σώματος. μαρτυρεῖ δὲ τῷ μεγάλῳ τῆς ψυχῆς καὶ τὸ μείζονος τοῦ ὄγκου γινομένου φθάνειν ἐπὶ πᾶν αὐτοῦ τὴν αὐτὴν ψυχήν, ἣ ἐπ' ἐλάττονος ὄγκου ἦν. γελοῖον γὰρ πολλαχῇ, εἴ τις προσθείη καὶ τῇ ψυχῇ ὄγκον VI 4,5,17-22; 11,11 (v. διάφορος) οὕτω τοι καὶ τὸ δυνάμενον ψυχὴν ἔχειν ἕξει καὶ ἄλλο αὖ καὶ ἕτερον ἀπὸ τοῦ αὐτοῦ VI 4, 12,8 τί δεῖ ἀπιστεῖν, εἰ ψ. μὴ μία τέταται συμμεριζομένη, ἀλλὰ πανταχοῦ οὗ ἂν παρῇ πάρεστι καὶ ἔστι πανταχοῦ τοῦ παντὸς οὐ μεμερισμένη; 21 τὰ δὲ τῆς ψυχῆς ἅτε καὶ φύσεως ὄντα τῆς ἑτέρας δεῖ λαμβάνειν ὡς οὐκ ὄντος αὐτῆς τοῦ μὲν ἐν σώμασι, τοῦ δὲ ἐφ' ἑαυτοῦ, ἀλλὰ ὅλον ἐν αὐτῷ καὶ ἐν πολλοῖς αὖ φανταζομένου 30 καὶ αὖ ἦλθεν ἄλλο εἰς τὸ λαβεῖν ψυχὴν καὶ ἐξ ἀφανοῦς αὖ καὶ τοῦτο ἔχει, ὅπερ ἦν καὶ ἐν τοῖς ἄλλοις. οὐδὲ γὰρ οὕτω προητοίμαστο, ὥστε μέρος αὐτῆς ὡδὶ κείμενον εἰς τοῦτο ἐλθεῖν, ἀλλὰ τὸ λεγόμενον (cf. Plat. Phaedr. 248e) ἥκειν ἦν ἐν παντὶ ἐν ἑαυτῷ καὶ ἔστιν ἐν ἑαυτῷ, καίτοι δοκοῦν ἐνταῦθα ἐλθεῖν. πῶς γὰρ καὶ ἦλθεν; 33 ἀλλ' εἰ ἡ αὐτὴ ἑκαστα-

χοῦ ψ., πῶς ἰδία ἑκάστου; καὶ πῶς ἡ μὲν ἀγαθή, ἡ δὲ κακή; ἢ ἐξαρκεῖ καὶ ἑκάστῳ καὶ πάσας ψυχὰς ἔχει καὶ πάντας νοῦς VI 4,14,1-3 cf. 7 ἔστι γὰρ ἡ ψ. χωρὶς πάντη οὖσα ἑκάστη οὐχ ἑκάστη, ὅταν δὲ διακριθῇ οὐ τόπῳ, ἀλλ' ἐνεργείᾳ γένηται τὸ καθέκαστον, μοῖρά τίς ἐστιν, οὐ πᾶσα, καίτοι καὶ ὥς πᾶσα τρόπον ἄλλον· οὐδενὶ δὲ ἐπιστατοῦσα πάντη πᾶσα, οἷον δυνάμει τότε τὸ μέρος οὖσα VI 4,16,32 καὶ πᾶσαι αἱ ψυχαὶ τοίνυν μία, οὕτω δὲ μία, ὡς ἄπειρος αὖ. διὸ καὶ οἱ μὲν « ἀριθμὸν » (cf. Xenocrates frg. 60) ἔλεγον, οἱ δὲ « αὐτὸν αὔξοντα » (cf. Heraclit. frg. B 115) τὴν φύσιν αὐτῆς, φαντασθέντες ταύτῃ ἴσως, ὡς οὐδενὶ ἐπιλείπει, ἀλλ' ἐπὶ πάντα ἐστὶν ὅ ἐστι μένουσα, καὶ εἰ πλείων ὁ κόσμος ἦν, οὐκ ἂν ἐπέλιπεν ἡ δύναμις μὴ οὐκ ἐπὶ πάντα αὖ ἐλθεῖν, μᾶλλον δὲ τοῦτον ἐν πάσῃ αὐτῇ εἶναι. δεῖ δῆτα λαβεῖν τὸ « αὔξων » (cj. Roussos: αὖξον MSS) οὐχ ὡς τῷ ῥήματι λέγεται, ἀλλ' ὅτι οὐκ ἐπιλείπει εἰς τὸ πανταχοῦ ἓν οὖσα· τοιοῦτον γὰρ αὐτῆς τὸ ἓν ὡς μὴ τοιοῦτον εἶναι οἷον μεμετρῆσθαι ὅσον· τοῦτο γὰρ φύσεως ἄλλης τῆς τὸ ἓν ψευδομένης καὶ μεταλήψει ἓν φανταζομένης VI 5,9,13; 12,35 (v. θεός, b) VI 6,17,38 (v. ζῷον,c); 18,17 (v. ζωή,c).52 (v. εἶναι,i) καὶ ἔζη (sc. ὁ νοῦς) οὐχ ὡς ψ. μία, ἀλλ' ὡς πᾶσαι, καὶ πλείων (most MSS: πλείω two MSS), δύναμιν εἰς τὸ ποιεῖν ψυχὰς ἑκάστας ἔχων, καὶ « ζῷον παντελὲς » (cf. Plat. Tim. 31b) ἦν, οὐκ ἄνθρωπον ἐν αὐτῷ μόνον ἔχων VI 7,8,29-30; 28,21-24 (v. εἶδος,b); 33,35 (v. εἶδος,b) VI 8,14,5 (v. εἶναι,i) ἔπειτα δὲ πολλὴ ἡ ψ. καὶ ἡ μία κἂν εἰ μὴ ἐκ μερῶν· πλεῖσται γὰρ δυνάμεις ἐν αὐτῇ, λογίζεσθαι, ὀρέγεσθαι, ἀντιλαμβάνεσθαι, ἃ τῷ ἑνὶ ὥσπερ δεσμῷ συνέχεται. ἐπάγει μὲν δὴ ψ. τὸ ἓν ἓν οὖσα καὶ αὐτὴ ἄλλῳ· πάσχει δὲ τοῦτο καὶ αὐτὴ ὑπ' ἄλλου VI 9,1,39-42 οὔτε ψυχήν (sc. λεκτέον τὸ ἕν) VI 9,3,41; 8,13 (v infra,e1a) ῥίζαν ψυχῆς (sc. τὸ ἕν) VI 9,9,2.31 (v. Ἀφροδίτη); 11,36 (v. εἶναι,l)

**b)** as third hypostasis: **1)** in itself or in relation to ἀγαθόν or to νοῦς: I 7,2,6 (v. supra,a) I 8,2,6 (v. νοῦς,c).24 (v. χορεύειν) II 3,17,15 (v. infra, c1) ἐπὶ δ' αὐτῷ (sc. τῷ ἐσχάτῳ ποιητῇ) τῆς ψυχῆς τὸ πρώτως πληρούμενον παρὰ νοῦ· ἐπὶ πᾶσι δὲ νοῦς δημιουργός, ὃς καὶ τῇ ψυχῇ τῇ μετ' αὐτὸν δίδωσιν ὧν ἴχνη ἐν τῇ τρίτῃ II 3,18, 14-15.20-21 (v. λόγος,c) II 5,3,14 (v. ὕλη,b1) περὶ δὲ ψυχῆς πῶς ἐροῦμεν; 19.22 (v. δύναμις, C).32 (v. ὕλη,c3).40 (v. τόπος,b) εἶτα ψυχὴν μετὰ νοῦν II 9,1,15.17 (v. νοῦς,a).31 (v. κίνησις, f) λόγος ἀπ' αὐτοῦ (sc. τοῦ νοῦ) εἰς ψυχὴν ψυχὴν νοερὰν ποιῶν, κτλ 31-32.59 (v. λόγος, c).60 (v. νοεῖν,b); 3,9 (v. νοῦς,a); 6,15 (v. νοητά) ψ. . . ἡ δημιουργοῦσα 22 ψυχῆς δὲ εἶδος τρίτον· διαφορὰς δὲ ψυχῶν ἐν πάθεσιν ἢ ἐν φύσει ἰχνεύειν (sc. ἔδει) κτλ 35; 9,32 (v. ἡγεμών) καὶ γὰρ ἐκεῖ ψ. χεῖρον νοῦ καὶ οὗτος ἄλλου ἔλαττον II 9,13,32; 14,3 (v. ἐπῳδή) III 3,3,21 (v. λόγος, c) ἀκόλουθος δὲ ψ. αὐτὴ νῷ 21 ψ. καθαρά (sc. ἐκεῖ) III 3,5,18 cf. 19 τὴν δὲ οὐρανίαν (sc. Ἀφροδίτην) . . ἀνάγκη ψυχὴν θειοτάτην εἶναι III 5,2,20 ὅθεν οὐδ' ἂν ἐκπέσοι ψ. νοῦ ἐξηρτημένη πολὺ μᾶλλον ἢ ἥλιος κτλ 30; 3,3 (v. οὐσία, b).19 (v. Ἔρως) χωριστὴν δὲ ἐκείνην τὴν ψυχὴν λέγοντες τὴν πρώτως ἐλλάμπουσαν τῷ οὐρανῷ, κτλ 22.24 (v. οὐράνιος).27 (v. ἀκήρατος).31 (v. Ἀφροδίτη); 4,21-22 (v. Ἀφροδίτη). 22 (v. ἔρως). 25 (v. ἔρως); 7,7 ἐξήρτηται δὲ ψυχῆς (sc. Ἔρως) ὡς ἐξ ἐκείνης μὲν γενόμενος ὡς ἀρχῆς, κτλ 16; 8,3 (v. Ἀφροδίτη).5 (v. Ζεύς) « βασιλικὴν . . ψυχήν » (cf. Plat. Phileb. 30d) 10. 11 (v. Ζεύς).15-16 (v. Ἀφροδίτη) εἰ . . κατὰ . . τὰς ψυχὰς αὐτῶν (sc. τῶν ἀρρένων θεῶν) τὰς θηλείας λέγομεν, ὡς νῷ ἑκάστῳ ψυχῆς συνούσης, εἴη ἂν καὶ ταύτῃ ἡ ψ. τοῦ Διὸς ἡ Ἀφροδίτη κτλ 18-20; 9,2-3 (v. Πόρος).7 (v. λόγος,c).11 (v. ἀγλάισμα) ψ. νῷ συνοῦσα καὶ παρὰ νοῦ ὑποστᾶσα κτλ 30 ἀεὶ δὲ οὕτως ὑπέστη ὧδε ἐξ ἀνάγκης ἐκ τῆς ψυχῆς ἐφέσεως πρὸς τὸ κρεῖττον καὶ ἀγαθόν, καὶ ἦν ἀεί, ἐξ οὗπερ καὶ ψ., Ἔρως 40-41.47 (v. ἐνέργεια,b).56 (v. Ἔρως) III 7,13,61-62 (v. κίνησις,e) ἡ ἐν ψυχῇ τῇ τοιαύτῃ πάσῃ (sc. ὁ χρόνος) καὶ ὁμοειδῶς ἐν πάσῃ καὶ αἱ πᾶσαι μία 66 III 8,4,16 (v. φύσις,a) III 9,1,33 (v. μερίζεσθαι,b).36 (v. μεριστός) ἡ πᾶσα ψ. οὐδαμοῦ ἐγένετο οὐδὲ ἦλθεν· οὐδὲ γὰρ ἦν ὅπου· ἀλλὰ τὸ σῶμα γειτονῆσαν μετέλαβεν αὐτῆς III 9,3,1 αἱ δ' ἄλλαι ἔχουσιν ὅθεν—ἀπὸ γὰρ ψυχῆς—καὶ εἰς ὅ, κτλ 4 ἡ δ' (sc. ἡ πᾶσα ψ.) ἀεὶ ἄνω ἐν ᾧ πέφυκεν εἶναι ψ. 6 τὴν ψυχὴν αὐτὴν δεῖ ὥσπερ ὄψιν εἶναι, ὁρατὸν δὲ αὐτῇ τὸν νοῦν εἶναι, ἀόριστον πρὶν ἰδεῖν, πεφυκυῖαν δὲ νοεῖν· ὕλην οὖν πρὸς νοῦν III 9,5,1 IV 2,2, 53 ἐφεξῆς δὲ τούτῳ (sc. τῷ νῷ) ψ. ἐξηρτημένη μένοντος νοῦ μένουσα IV 3,11,16.21 (v. ἑρμηνευτικός) καὶ τῇ μὲν ἐξαρχῆς ψυχῇ προσηρτῆσθαι (sc. τὸν ἥλιον κτλ) τῇ οἷον ἀπελθούσῃ ψυχῇ (dat. instr.), ταύτῃ δέ, ἧπερ καί εἰσι καὶ ὃ λέγονται (sc. θεοί), πρὸς νοῦν βλέπειν οὐδαμοῦ ψυχῆς αὐτοῖς ἢ ἐκεῖ βλεπούσης 25-27; 12,32 (v. infra,b2) IV 4,1,1 (v. μνήμη) τῇ δὲ ψυχῇ ἐκεῖ οὔσῃ διὰ τί οὐκ ἔσται (sc. διαίρεσις); 19; 2,3 (v. μνήμη) ἐπὶ δὲ τῆς ψυχῆς ἐν οἷον ἐσχάτοις τοῦ νοητοῦ κειμένης γίνεσθαι (sc. λεκτέον) τοῦτο (sc. τὸ μεταβάλλειν τὰς νοήσεις) δυνατὸν εἶναι, ἐπεὶ καὶ προσχωρεῖν εἴσω 16 ἀλλ' ἡ ψ. ἐν τῷ νοητῷ οὖσα τοῦτο πάσχει τὸ ἄλλο καὶ ἄλλο πρὸς αὐτὴν καὶ τὰ ἐν αὐτῇ; ἢ καθαρῶς ἐν τῷ νοητῷ οὖσα ἔχει τὸ ἀμετάβλητον καὶ αὐτή. καὶ γὰρ αὐτή ἐστιν ἅ ἐστιν· κτλ 22 παυσαμένης οὖν τῆς ἐν τῷ νοητῷ ἐνεργείας, εἶδεν ἃ πρότερον ἡ ψ., πρὶν ἐκεῖ γενέσθαι, ἰδοῦσα ἦν IV 4,4,20; 5,13 (v. τόπος, b) « ψυχὴν βασιλικήν » (cf. Plat. Phileb. 30d) IV 4,9,2; 10,11 (v. τάξις).15 (v. ἔργον,a); 16,19 (v. ἐνέργεια,b) σεμνὸν γάρ τι καὶ ἡ ψ. ἡ τοιαύτη (sc. ἡ τάττουσα), οἷον κύκλος προσαρμόττων κέντρῳ εὐθὺς μετὰ κέντρον αὐξηθείς, διάστημα

ἀδιάστατον 21 ψυχὴν δὲ κατὰ κύκλον κινούμενον ἂν τάξειε, κινούμενον δὲ τῇ ἐφέσει 24 ἡ δὲ ψ. τοῦ ἐπέκεινα ὄντος ἐφίεται 26; 17,2 (v. νόησις,e2β) IV 7,8$^{3}$,10 (v. νοῦς,a).13 (v. θεός,a). 22 (v. νοῦς,a) ἀνάγκη . . μέχρι ψυχῆς ἐλθεῖν (sc. τὴν νοερὰν διέξοδον) IV 8,7,21 οὕτως καὶ ψυχῆς ἐνέργεια· τὸ μὲν μετ᾽ αὐτὴν τὰ τῇδε, τὸ δὲ πρὸ αὐτῆς ἡ θέα τῶν ὄντων, ταῖς μὲν παρὰ μέρος καὶ χρόνῳ γιγνομένου τοῦ τοιούτου καὶ . ., τῇ δὲ λεγομένῃ τοῦ παντὸς εἶναι τὸ μηδ᾽ ἐν τῷ χείρονι ἔργῳ γεγονέναι, κτλ 23 IV 9,1,12 (v. supra,a) σκοπείσθω δὲ τὴν μεγάλην ψυχὴν ἄλλη ψ. οὐ σμικρὰ ἀξία τοῦ σκοπεῖν γενομένη ἀπαλλαγεῖσα ἀπάτης κτλ V 1,2,12 οὕτω δὴ τιμίου καὶ θείου ὄντος χρήματος τῆς ψυχῆς, κτλ V 1,3,1.5 (v. θειότερος).6 ταύτας μόνας δεῖ λέγειν ἐνεργείας ψυχῆς, ὅσα νοερῶς καὶ ὅσα οἴκοθεν 18.25 (v. κρείττων,b) χρόνος περιθέων ψυχήν V 1,4,18 πολὺς οὖν οὗτος ὁ θεὸς (sc. ὁ νοῦς) ἐπὶ τῇ ψυχῇ· τῇ δὲ ὑπάρχει ἐν τούτοις εἶναι συναφθείσῃ, εἰ « μὴ ἀποστατεῖν » (cf. Plat. Parm. 144b) ἐθέλοι V 1,5,1; 6,45 (v. νοῦς,b).46 (v. ἀμυδρός).49 (v. νοῦς,b); 7,36 (v. νοῦς,b); 8,6 (v. κρατήρ).10 (v. Πλάτων) τρίτη δὲ ἡ τῆς ψυχῆς φύσις V 1,10,4; 12,4 (v. ἀεικίνητος) καὶ αὕτη ἐκ τῆς οὐσίας ἐνέργεια ψυχῆς τοῦτο (i.e. ψ.) μένοντος ἐκείνου (sc. νοῦ) γενομένη V 2,1,16 ἐπεὶ δὲ ἐνταῦθα γεγενήμεθα πάλιν αὖ καὶ ἐν ψυχῇ, κτλ V 3,6,16; 7,26 (v. νοῦς,b) ἡ δὲ ψ. ἐκ νοῦ φῶς τι περὶ αὐτὸν γενομένη ἐξήρτηταί τε αὐτοῦ καὶ οὔτε ἐν ἄλλῳ, ἀλλὰ περὶ ἐκεῖνον, οὔτε τόπος αὐτῇ· οὐδὲ γὰρ ἐκείνῳ V 3,9,15 αὐτὴ δὲ ἡ ψ. ἡ τοιαύτη καθαρά, ὥστε καὶ ἐφ᾽ αὑτῆς ὁρᾶσθαι ὑπό τε αὑτῆς καὶ ἄλλης τοιαύτης 18.29; 16,29 (v. νοῦς,a) V 5,3,7 (v. βαίνειν) ψ. δὲ οὐκ ἐν ἐκείνῳ (sc. τῷ κόσμῳ), ἀλλ᾽ ἐκεῖνος ἐν αὐτῇ· οὐδὲ γὰρ τόπος τὸ σῶμα τῇ ψυχῇ, ἀλλὰ ψ. μὲν ἐν νῷ, σῶμα δὲ ἐν ψυχῇ (cf. Plat. Tim. 36e), κτλ V 5, 9,29-31 V 6,4,16 (v. νοῦς,b) V 8,13,13 (v. καλός, a) V 9,3,33 (v. νοῦς,b).36 (v. ἀλήθεια) διὰ τί οὖν δεῖ ἐπὶ ψυχῇ ἀνιέναι, ἀλλ᾽ οὐκ αὐτὴν εἶναι τίθεσθαι τὸ πρῶτον; V 9,4,1.2 (v. νοῦς,b) οὐ γὰρ δή, ὡς οἴονται (sc. Stoici), ψ. νοῦν τελεωθεῖσα γεννᾷ 4 εἰ δὲ δὴ καὶ ἐμπαθὲς ψ., δεῖ δέ τι ἀπαθὲς εἶναι—ἢ πάντα τῷ χρόνῳ ἀπολεῖται—δεῖ τι πρὸ ψυχῆς εἶναι. καὶ εἰ ἐν κόσμῳ ψ., ἐκτὸς δὲ δεῖ τι κόσμου εἶναι, καὶ ταύτῃ πρὸ ψυχῆς δεῖ τι εἶναι 12-15 καὶ ὅτι μὲν νοῦν πρὸ ψυχῆς εἶναι δεῖ, ἐκ τούτων καὶ ἐξ ἄλλων πολλῶν ἄν τις θεωρήσειε 18; 5,25 (v. ἕξις,a); 6,19 (v. λόγος,c); 14,10 (v. νοῦς,a) πρότερον (sc. τῆς καθεκάστου ψυχῆς εἶναι) δὲ ἄλλην καθόλου, καὶ τῆς καθόλου (sc. πρότερον εἶναι) αὐτοψυχὴν ἤτοι τὴν ζωήν; ἢ ἐν νῷ πρὶν γενέσθαι ψυχήν, ἵνα καὶ γένηται, αὐτοψυχὴν ἐκείνην λέγειν 21 VI 2,11,11 (v. ἕν,c); 22,3-4 (v. νοῦς,b) νοῦς μὲν οὖν ἔχει τὸ μεθ᾽ ἑαυτὸν ψυχήν, ὥστε ἐν ἀριθμῷ εἶναι, καὶ ψυχὴν μέχρι τοῦ ἐσχάτου αὐτῆς, τὸ δὲ ἔσχατον αὐτῆς ἤδη ἄπειρον παντάπασι 21.25.28 (v. νοῦς,b) ψυχῆς δὲ ἐνεργούσης ὡς γένους ἢ εἴδους αἱ ἄλλαι ψυχαὶ ὡς εἴδη. καὶ τούτων αἱ ἐνέργειαι διτταί 28-29 VI 6, 7,5 (v. μιμεῖσθαι).12-13 (v. νοῦς,a) τοῦτο δὲ (sc. τὸ ζητεῖν πόθεν ζῷον) ταὐτόν· πόθεν ζωὴ καὶ ζωὴ πᾶσα καὶ ψ. πᾶσα καὶ νοῦς ὁ ξύμπας VI 7,12,21; 13,1 (v. ἁπλοῦς,d); 17,36.38 (v. νοῦς, b); 31,3 (v. νοῦς,c) ἡ δὲ ψ. (sc. ὁρᾷ) οἷον συγχέασα καὶ ἀφανίσασα μένοντα τὸν ἐν αὐτῇ νοῦν, μᾶλλον δὲ ὁ νοῦς αὐτῆς ὁρᾷ πρῶτος, ἔρχεται δὲ ἡ θέα καὶ εἰς αὐτὴν καὶ τὰ δύο ἓν γίνεται VI 7,35,33 διὸ οὐδὲ κινεῖται ἡ ψ. τότε, ὅτι μηδὲ ἐκεῖνο (sc. τὸ ἀγαθόν).οὐδὲ ψ. τοίνυν, ὅτι μηδὲ ζῇ ἐκεῖνο, ἀλλὰ ὑπὲρ τὸ ζῆν 42; 42,20 (v. κόσμος,b).21 (v. ἀναρτᾶσθαι).24 (v. αἰσθητός) ἆρ᾽ οὖν, ἐπειδὴ ψ. τὰ πάντα εἰς ἓν ἄγει δημιουργοῦσα καὶ πλάττουσα καὶ μορφοῦσα καὶ συντάττουσα, ἐπὶ ταύτην ἐλθόντας δεῖ λέγειν, ὡς αὕτη τὸ ἓν χορηγεῖ καὶ αὕτη ἐστι τὸ ἕν; ἢ ὥσπερ τὰ ἄλλα χορηγοῦσα τοῖς σώμασιν οὐκ ἔστιν αὐτὴ ὃ δίδωσιν, οἷον μορφὴ καὶ εἶδος, ἀλλ᾽ ἕτερα αὐτῆς, οὕτω χρή, εἰ καὶ ἓν δίδωσιν, ἕτερον ὂν αὐτῆς νομίζειν αὐτὴν διδόναι καὶ πρὸς τὸ ἓν βλέπουσαν ἓν ἕκαστον ποιεῖν, ὥσπερ καὶ πρὸς ἄνθρωπον (sc. βλέπουσαν) ἄνθρωπον (sc. ποιεῖν), συλλαμβάνουσαν μετὰ τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ ἕν VI 9,1,17.28.30-31.33.35 (v. ἕν,c); 5,5 (v. τὸ ἕν,a) καὶ δὴ δεῖ τούτους (sc. τοὺς ἀνιόντας ἐπὶ ψυχήν) φύσιν ψυχῆς κατανενοηκέναι τά τε ἄλλα καὶ ὡς παρὰ νοῦ ἐστι καὶ λόγου παρὰ τούτου κοινωνήσασα ἀρετὴν ἴσχει 6.13 (v. νοῦς,a).22-23 (v. κόσμος,c)

**b2**) in relation to the lower world: II 2,1,39 (v. φύσις,a) II 3,18,21 (v. λόγος,c) III 4,1,2 (v. φύσις,a) νοῦς . . πέμπει εἰς τὰ τῇδε διὰ ψυχῆς. ψ. δὲ ἐκ τοῦ πλησίον μᾶλλον κατὰ τὸ ἐκεῖθεν διάκειται εἶδος καὶ δίδωσι τοῖς ὑπ᾽ αὐτήν, ἡ μὲν ὡσαύτως, ἡ δὲ ἄλλοτε ἄλλως IV 3,12,32 IV 4,4,14 (v. πάθημα,a) ψυχῆς ἔσχατον (sc. ἡ φύσις) IV 4,13,3 IV 7,13,17 (v. νοῦς,a) γιγνομένων τούτων καὶ φθειρομένων, ὅταν αὐτὰ ψ. ἀπολείπῃ ἢ χορηγῇ τὸ ζῆν, αὐτὴ δὲ οὖσα ἀεὶ « τῷ μὴ ἀπολείπειν ἑαυτήν » (cf. Plat. Phaedr. 245c) V 1,2,8; 3,19 (v. χείρων) ἄλλα καὶ ἄλλα αὖ περὶ ψυχήν· ποτὲ γὰρ Σωκράτης, ποτὲ δὲ ἵππος, ἕν τι ἀεὶ τῶν ὄντων V 1,4,19 μᾶλλον δὲ γεννῶν καὶ αὐτό (sc. τὸ περὶ νοῦν κινούμενον, i.e. ψ.), ἃ ψυχῆς ἀνάγκη εἶναι χείρονα V 1,7,47 V 2,1,23 (v. φυτόν) ποῦ τὸ ἐν τῇ ῥίζῃ; ἐν ψυχῇ· οὐ γὰρ (cj. H-S$^{2}$: οὐκ MSS) εἰς ἄλλον τόπον ἐλθοῦσα· ἀλλὰ κἂν ἐν τῷ αὐτῷ ᾖ, ἀλλ᾽ ἐν ἄλλῳ, εἰ ἀναδράμοι· εἰ δὲ μή, ἐν ἄλλῃ φυτικῇ, κτλ V 2,2,15

**c**) universal soul or world soul: **1**) in general: II 1,2,20 (v. οὐρανός) ὁ μὲν δὴ τῷ σώματι διδοὺς τὸ ἄφθαρτον οὐδὲν ἂν εἰς τοῦτο (sc. to secure permanence) τῆς ψυχῆς δέοιτο κτλ 21.23 (v. σῶμα,b); 3,12 (v. ἀσύμφωνος).19 (v. ὁλκή).20 (v. τόπος,a).21 (v. περιαγωγή); 4,7 (v. αἰτία,a).14 (v. τὰ ἄριστα,c).24 (v. καταλύειν).

31 (v. μετάνοια) cf. II 9,6,3  II 1,5,6 (v. δημιουργός,b).8 (v. μιμεῖσθαι).13 (v. σῶμα,b) ἡμεῖς δὲ πλασθέντες ὑπὸ τῆς διδομένης παρὰ τῶν ἐν οὐρανῷ θεῶν ψυχῆς καὶ αὐτοῦ τοῦ οὐρανοῦ κατ᾽ ἐκείνην καὶ σύνεσμεν τοῖς σώμασιν· ἡ γὰρ ἄλλη ψ., καθ᾽ ἣν ἡμεῖς, τοῦ εὖ εἶναι, οὐ τοῦ εἶναι αἰτία 19-20 II 2,1,2 (v. κίνησις,f) τί οὖν ὅτι ψ. ἐν αὐτῇ ἐστι καὶ πρὸς αὐτήν; 2.15 (v. σῶμα,b).18 (v. φέρειν,e).37 (v. κάμνειν) πανταχοῦ οὖσα ἡ ψ. ὅλη καὶ οὐ διειλημμένη ἡ τοῦ παντὸς κτλ 40.43 (v. ἵστασθαι,b); 2,8 (v. μέσος,a) εἰ δὴ ψυχῆς ἐστι (sc. τὸ μέσον), περιθέουσα τὸν θεὸν κτλ 12 τῆς ψυχῆς ἡ μέν τις δύναμις ἡ ἐσχάτη ἀπὸ γῆς ἀρξαμένη καὶ δι᾽ ὅλου «διαπλεκεῖσά» (cf. Plat. Tim. 36e) ἐστιν, ἡ δὲ αἰσθάνεσθαι πεφυκυῖα κτλ II 2,3, 1.16 (v. αἰσθητικώτερος) ψυχῆς δὴ τὸ πᾶν τόδε διοικούσης κατὰ λόγον, κτλ II 3,13,3 cf. II 3,16,5  II 3,16,19 (v. λόγος,c).24; 17,1 (v. νοήματα).13 νοῦς δὴ ψυχῇ δίδωσι τῇ τοῦ παντός, ψ. δὲ παρ᾽ αὐτῆς ἡ μετὰ νοῦν τῇ μετ᾽ αὐτὴν ἐλλάμπουσα καὶ τυποῦσα, ἡ δὲ ὡσπερεὶ ἐπιταχθεῖσα (ὡσπερεὶ ἐπιταχθεῖσα one MS.: ὡς περιέπει ταχθεῖσα most MSS) ἤδη ποιεῖ 15 δεῖ τὴν τοῦ παντὸς ψυχὴν θεωρεῖν μὲν τὰ ἄριστα II 3,18,9 II 9,4,1 (v. πτερορρυεῖν).20 (v. infra,d1α) ψυχῆς .. πάθη II 9,6,3 ἐν γὰρ τῇ πάσῃ ψυχῇ ἡ τοῦ σώματος φύσις δεδεμένη ἤδη συνδεῖ ὃ ἂν περιλάβῃ II 9,7,12.13 (v. δεῖν, A) ἡ ψ. ἡ ἐκεῖ 24 (v. πῦρ) cf. 26 II 9,8,2 (v. κόσμος,b).40 (v. infra,e1α); 16,31 (v. μέθεξις) τῆς τόδε τὸ πᾶν ψυχῆς διοικούσης II 9,17,15 τοσούτῳ διδόντας τῇ τοῦ κόσμου ψυχῇ δυνάμεως, ὅσῳ τὴν σώματος φύσιν οὐ καλὴν οὖσαν ἐποίησεν, .. μετέχειν κάλλους· ὃ καὶ αὐτὸ τὰς ψυχὰς θείας οὔσας κινεῖ 19-21.54 (v. πλάττειν, b) ψυχῆς ἀδελφῆς (q.v.) ἀγαθῆς πολλὴν δύναμιν εἰς τὸ δημιουργεῖν ἀπόνως ἐχούσης II 9, 18,16 cf. IV 3,6,13 II 9,18,19 (v. ἀδελφός).23 (v. οἰκεῖν,a) ἐγγὺς δὲ γενόμενοι τοῦ ἀπλήκτου μιμοίμεθ᾽ ἂν τὴν τοῦ σύμπαντος ψυχὴν καὶ τὴν τῶν ἄστρων, κτλ 31.39 (v. ἄψυχος)

III 1,4,1 (v. διήκειν) τῆς τῶν ὅλων ψυχῆς III 1,7,6 (v. κίνησις,e) III 2,2,40 (v. ἄρχεσθαι, A) πᾶσα δὲ ἐμὴ (sc. τοῦ κόσμου) ψ. (sc. ἐξήρτηται τοῦ ἀγαθοῦ) III 2,3,34; 4,11 (v. infra, d1α); 17,33 (v. ὑποκρίνεσθαι) cf. 36 (v. τύχαι). 40 III 3,1,4 (v. λόγος,c) τὸ «ψ. πᾶσα ἐπιμελεῖται τοῦ ἀψύχου» (cf. Plat. Phaedr. 246b) III 4,2,1 cf. IV 3,1,33 III 4,6,23 (v. κόσμος,c) τοῦδε τοῦ παντὸς ψυχὴν III 5,3,28 (v. Ἔρως). 31 (v. Ἀφροδίτη) τὰς τῶν νέων ψυχὰς καὶ τὴν ψυχὴν ᾗ συντέτακται ἀναστρέφοντα (sc. Ἔρωτα), καθ᾽ ὅσον καὶ αὐτὴ εἰς μνήμην ἐκείνων πέφυκεν ἰέναι. πᾶσα γὰρ ἐφίεται τοῦ ἀγαθοῦ καὶ ἡ μεμιγμένη καὶ ἡ τινὸς γενομένη· ἐπεὶ καὶ αὕτη ἐφεξῆς ἐκείνῃ καὶ ἐξ ἐκείνης 34-35; 5,11-13 (v. Ἀφροδίτη); 6,31 (v. δαίμων) ἔδει γὰρ ἀρκεῖν τὴν ψυχὴν τοῦ παντὸς τῷ παντὶ γεννήσασαν δυνάμεις δαιμόνων κτλ 34 καὶ ἐπὶ τῆς ψυχῆς τοῦ παντὸς ὡσαύτως III 7,13,65

ἀλλὰ τοῦτο μέν (sc. τὰς ὑποδοχὰς τῶν θεῶν), ὅταν πῶς ἐν σώματι ψ. γίγνεται ζητῶμεν· νῦν δὲ πάλιν ἐπανίωμεν ἐπὶ τοὺς λέγοντας ἐκ τῆς τοῦ παντὸς ψυχῆς καὶ τὰς ἡμετέρας εἶναι (cf. Stoic. vet. frg. I n. 495 and II n. 774). οὐδὲ γὰρ ἴσως ἱκανὸν φήσουσιν εἶναι τὸ φθάνειν μέχρι τῶν αὐτῶν καὶ τὰς ἡμετέρας, μέχρις ὧν καὶ ἡ τοῦ παντὸς ψ. ἔρχεται, μηδὲ τὸ ὁμοίως νοερόν, .., (sc. sufficient proof that) τῷ (cj. H-S$^2$: τοῦ MSS) μὴ μόρια αὐτῆς εἶναι IV 3,1,16-20 ὅταν .. λέγῃ (sc. Plato, Phileb. 30a), .., οὕτω καὶ ψυχὴν τὴν ἡμετέραν μέρος τῆς τοῦ παντὸς ψυχῆς εἶναι 25-26 ὅπερ ἐπὶ ἡμῶν μέρος ἕκαστον ἡμῶν παρὰ τῆς ἡμετέρας ψυχῆς λαμβάνει, οὕτω καὶ ἡμᾶς ἀνὰ τὸν αὐτὸν λόγον μέρη πρὸς τὸ ὅλον ὄντας παρὰ τῆς ὅλης ψυχῆς μεταλαμβάνειν ὡς μέρη 31-33 οὐκ ἄλλο τι ἔξωθεν ψυχῆς καταλείποντος (sc. Plato) μετὰ τὴν τοῦ ὅλου IV 3,1,35; 2,55 (v. supra,a) διὰ τί δὲ ἡ μὲν τοῦ παντὸς ψ. ὁμοειδὴς οὖσα πεποίηκε κόσμον, ἡ δὲ ἑκάστου οὔ, ἔχουσα καὶ αὐτὴ πάντα ἐν ἑαυτῇ; IV 3,6,1.13 (v. infra,d1α) cf. II 9,18,16 ἐν Τιμαίῳ .., οὐ γενομένης τῆς ψυχῆς τοῦ παντὸς (cf. Plat. Tim. 41d) κτλ IV 3,7,9.13 (v. Φαῖδρος) τί γὰρ ἂν εἴη, ὃ σώματος τὴν φύσιν διοικεῖ .. ἢ ψ.; 15 καί τι ἔφαμεν ἔχειν ἐν τῷ παντὶ ὄντες τῆς τοῦ ὅλου ψυχῆς, .., ἀλλ᾽ ἀντετίθεμεν ἄλλην ψυχὴν πρὸς ταῦτα κτλ 26-27; 9,17 (v. σῶμα,a).35 (v. ἔμψυχος). 37 (v. ἀνέχειν,a) ἐν νῷ λαβεῖν ὡς πανταχοῦ μὲν εὐάγωγον ψυχῆς φύσις, δέξασθαί γε μὴν ῥᾷστον ἂν εἴη ἁπάντων, εἴ τις προσπαθές τι κτλ IV 3, 11,4 εἰς ὃν (sc. θεόν = τὸν νοῦν) εἶδεν ἡ ψ., καὶ εἶχε ποιοῦσα 12 Πλάτων (cf. Tim. 36d-e) καλῶς τὴν ψυχὴν οὐ θεὶς ἐν τῷ σώματι ἐπὶ τοῦ παντός, ἀλλὰ τὸ σῶμα ἐν τῇ ψυχῇ, [καὶ] (del. Vitringa,H-S$^2$) φησὶ τὸ μέν τι εἶναι τῆς ψυχῆς ἐν ᾧ τὸ σῶμα, τὸ δὲ ἐν ᾧ σῶμα μηδέν, ὧν δηλονότι δυνάμεων οὐ δεῖται τῆς ψυχῆς τὸ σῶμα. καὶ δὴ καὶ ἐπὶ τῶν ἄλλων ψυχῶν ὁ αὐτὸς λόγος IV 3,22,8-12 καὶ τελευτῶν εἰσι καὶ ἐπὶ τὴν τοῦ παντὸς ψυχὴν IV 4,6,7; 10,2 (v. τὸ κοσμοῦν); 13,17 (v. κομίζεσθαι); 15,7 (v. ἐνέργεια,b); 16,28 (v. σφαῖρα,a) ἀλλ᾽ ὅτι γε ἐν τῇ τοῦ παντὸς ψυχῇ τὸ ἓν καὶ ταὐτὸν καὶ ὁμοίως, ἐν δὲ τοῖς ἄλλοις ἄλλως, καὶ δι᾽ ἅ, εἴρηται IV 4,17,36 τῇ τοῦ παντὸς ψυχῇ IV 4,24,31 (v. ὅρασις); 25,3 (v. infra,d1β) ψυχὴν μίαν ἔχον εἰς πάντα αὐτοῦ μέρη (sc. τόδε τὸ πᾶν), καθόσον ἐστὶν ἕκαστον αὐτοῦ μέρος IV 4,32,6 ὅσον δὲ καὶ ψυχῆς τοῦ παντὸς μετέχει, κατὰ τοσοῦτον καὶ ταύτῃ (sc. ἕκαστόν ἐστι μέρος)· καὶ τὰ μὲν μόνης ταύτης μετέχοντα κατὰ πᾶν ἐστι μέρη, ὅσα δὲ καὶ ἄλλης, ταύτῃ ἔχει τὸ μὴ μέρη πάντῃ εἶναι 9 IV 7,9,5 (v. σῴζεσθαι,c) καὶ τῇ σπουδῇ ταύτῃ περὶ τὸ αἰσθητὸν τεταμένη, μετὰ μὲν πάσης τῆς τῶν ὅλων ψυχῆς ὑπερέχουσα τοῦ διοικουμένου εἰς τὸ ἔξω καὶ τοῦ παντὸς συνεπιμελουμένη, μέρος δὲ διοικεῖν βουληθεῖσα

μονουμένη καὶ ἐν ἐκείνῳ γιγνομένη, ἐν ᾧ ἐστιν, κτλ IV 7,13,9 τήν τε ψυχὴν παρὰ « ἀγαθοῦ τοῦ δημιουργοῦ » πρὸς τὸ « ἔννουν » (cf. Plat. Tim. 29a and 30b) τόδε τὸ πᾶν εἶναι δεδόσθαι IV 8,1,43 ἄνευ δὲ ψυχῆς οὐχ οἷόν τε ἦν τοῦτο γενέσθαι. ἥ τε οὖν ψ. ἡ τοῦ παντὸς τούτου χάριν εἰς αὐτὸ παρὰ τοῦ θεοῦ ἐπέμφθη, ἥ τε ἑκάστου ἡμῶν, πρὸς τὸ τέλεον αὐτὸ εἶναι 45-46 ἐν ᾧ (sc. κόσμῳ) ψ. ἐνδιαιτᾶται ἑκοῦσα εἴτε ἀναγκασθεῖσα κτλ IV 8,2,5 καὶ ὡς πέφυκε ψ. ἐθέλειν, ταύτῃ καὶ ἀεὶ ἔχει (sc. ἡ τοῦ παντός) οὔτ᾽ ἐπιθυμίας ἔχουσα οὔτε πάσχουσα 17 τῆς . . θείας ψυχῆς κτλ 31 (v. οὐρανός) τὴν ψυχὴν τοῦ παντός 34 (v. θεός,a) ἥ τε ψ. οὐκ ἀπεστέρηται τοῦ κατὰ φύσιν ἐξ ἀιδίου τοῦτ᾽ ἔχουσα καὶ ἕξουσα ἀεί, ὃ μὴ οἷόν τε παρὰ φύσιν αὐτῇ εἶναι 35.41 (v. ἀστήρ) οὐδέτερον τούτων ἂν γένοιτο ψυχῇ, ἥτις μὴ εἰς τὸ εἴσω ἔδυ τοῦ σώματος, μηδέ τινός ἐστι, μηδὲ ἐκείνου (sc. τοῦ σώματος) ἐγένετο, ἀλλ᾽ ἐκεῖνο αὐτῆς, κτλ 46.49 ἁμαρτούσῃ τοῦ ἀβλαβοῦς . ., ὃ ἦν παρὰ τῇ ψυχῇ τῇ ὅλῃ IV 8,4,24

V 1,2,18 (v. εἰσρεῖν) ψ. ἐλθοῦσα εἰς σῶμα οὐρανοῦ ἔδωκε μὲν ζωήν, ἔδωκε δὲ ἀθανασίαν, κτλ 21.24 (v. ζῷον,b).25 (v. οὐρανός) ἀλλ᾽ οὐχ ἡ ψ. οὕτως (sc. ἐν τόπῳ), οὐδὲ μέρει αὐτῆς ἑκάστῳ (sc. σώματι) κατακερματισθεῖσα [μορίῳ ψυχῆς] (del. H-S$^{2}$) ζῆν ποιεῖ, ἀλλὰ τὰ πάντα ζῇ τῇ ὅλῃ, κτλ 35-36.46 (v. τίμιος) V 8,13,15 (v. Ἀφροδίτη) εἰ δὲ παρ᾽ ἄλλου, παρὰ τίνος ψ. καὶ τὸ ἐπακτὸν καὶ τὸ συμφυὲς τῇ οὐσίᾳ αὐτῆς κάλλος ἔχει; 18 τὰς δὲ μορφὰς ταύτας (sc. πῦρ, ὕδωρ, κτλ) παρ᾽ ἄλλου ἥκειν· τοῦτο δὲ εἶναι ψυχήν· ψυχὴν δὲ αὖ καὶ ἐπὶ τοῖς τέτρασι τὴν κόσμου μορφὴν δοῦναι V 9,3,29

VI 3,1,23 (v. μίγμα) ἆρά γε ἡ ψ. πανταχοῦ τῷ παντὶ πάρεστιν, ὅτι σῶμά ἐστι τοῦ παντὸς τοσόνδε, περὶ τὰ σώματα φύσιν ἔχουσα μερίζεσθαι; ἢ καὶ παρ᾽ αὐτῆς πανταχοῦ ἐστιν, οὐχ οὗπερ ἂν ὑπὸ σώματος προαχθῇ, ἀλλὰ σώματος εὑρίσκοντος αὐτὴν πρὸ αὐτοῦ πανταχοῦ οὖσαν, ὥστε, ὅπου ἂν τεθῇ, ἐκεῖ εὑρίσκειν ψυχὴν οὖσαν πρὶν αὐτὸ τεθῆναι ἐν μέρει τοῦ παντός, καὶ τὸ ὅλον τοῦ παντὸς σῶμα τεθῆναι ἐν ψυχῇ οὔσῃ; ἀλλ᾽ εἰ ἔστιν εἰς τοσοῦτον πρὶν τὸ τοσόνδε σῶμα ἐλθεῖν πληροῦσα τὸ διάστημα πᾶν, πῶς οὐ μέγεθος ἕξει; . .; τό τε ἀμερῆ λεγομένην καὶ ἀμεγέθη εἶναι πανταχοῦ εἶναι μέγεθος οὐκ ἔχουσαν πῶς ἄν τις παραδέξαιτο; VI 4,1,1-8 τί γὰρ κωλύει τὴν μὲν δύναμιν τῆς τοῦ παντὸς ψυχῆς προϋπογράφειν, ἅτε λόγον πάντα οὖσαν, πρὶν καὶ παρ᾽ αὐτῆς ἥκειν τὰς ψυχικὰς δυνάμεις, καὶ τὴν προϋπογραφὴν οἷον προδρόμους ἐλλάμψεις εἰς τὴν ὕλην εἶναι, ἤδη δὲ τοῖς τοιούτοις ἴχνεσιν ἐπακολουθοῦσαν τὴν ἐξεργαζομένην ψυχὴν κατὰ μέρη τὰ ἴχνη διαρθροῦσαν ποιῆσαι καὶ γενέσθαι ἑκάστην τοῦτο, ᾧ προσῆλθε σχηματίσασα ἑαυτήν, ὥσπερ τὸν ἐν ὀρχήσει πρὸς τὸ δοθὲν αὐτῷ δρᾶμα; VI 7,7,9-14



**c2**) of or in relation to the superior world: τῇ τοῦ κόσμου (q.v.,b) ψυχῇ καὶ τῷ ἐν ταύτῃ ἡγουμένῳ I 2,1,8 II 3,9,33 (v. κόσμος,b).44 (v. χωρίζειν,a) ποιήσει τὸ ἡγούμενον τῆς ψυχῆς τῷ τρέπειν (cj. Fic.,H-S$^{2}$: τρέφειν MSS) τὴν ἔνυλον καὶ γεννητικὴν ψυχήν II 3,17,8 IV 3,4,30 (v. infra,e5) IV 8,7,31 (v. ἀμήχανος,b) καὶ ἔτι « ἔξωθέν » φησιν (sc. Plato,Tim. 36e) ἐπὶ τοῦ παντὸς τὴν ψυχὴν περιέβαλεν ἐνδεικνύμενος τῆς ψυχῆς τὸ ἐν τῷ νοητῷ μένον V 1,10,22-23

**c3**) of or in relation to the inferior world: II 3,9,32 (v. κόσμος,b); 17,8 (v. supra,c2) τῆς μὲν οὖν ἐοικυίας τῇ ἐν φυτῷ (q.v.) μεγάλῳ ψυχῇ, . . τοῦ (cj. Theiler: τῆς MSS) κατωτάτω τῆς ψυχῆς τοῦ παντός IV 3,4,26-28

**d**) individual soul: **1**) in general: **α**) in itself: I 1,2,1-2 (v. εἶναι,g) cf. I 1,12,7 εἰ γὰρ τοῦτο, σύνθετόν τι ἡ ψ. κτλ I 1,2,2 εἰ ταὐτόν ἐστι ψ. καὶ τὸ ψυχῇ εἶναι, εἶδός τι ἂν εἴη ψ. ἄδεκτον τούτων ἁπασῶν τῶν ἐνεργειῶν, ὧν ἐποιστικὸν ἄλλῳ, ἑαυτῷ δὲ συμφυᾶ ἔχον τὴν ἐνέργειαν ἐν ἑαυτῷ, ἥντινα ἂν φήνῃ ὁ λόγος 6-7 ἄτοπόν φησι (sc. Aristot., De An. 408b) « τὴν ψυχὴν ὑφαίνειν λέγειν », ὥστε καὶ ἐπιθυμεῖν καὶ λυπεῖσθαι· ἀλλὰ τὸ ζῷον μᾶλλον I 1,4,26; 5,16 (v. δόξα,Aa).27 (v. κοινός,a) εἰ τοῦτο, καὶ τὸ ζῆν ὅλως οὐ τῆς ψυχῆς, ἀλλὰ τοῦ συναμφοτέρου ἔσται I 1,6,7 cf. 9 (v. τὸ συναμφότερον,b)

II 1,2,18 (v. συγκεῖσθαι) εἰ γάρ ἔστιν ὁ θεὸς ἐν πᾶσι (v.l. πάσῃ), τὴν συνεῖναι βουλομένην ψυχὴν περὶ αὐτὸν δεῖ γίγνεσθαι II 2,2,23 καὶ ψυχῇ μὲν καὶ πρὶν ἐλθεῖν εἰς γένεσιν δοτέον ἥκειν τι φερούσῃ παρ᾽ αὐτῆς II 3,10,3 τῇ ψυχῇ τῇ συμπαθεῖ καὶ παρ᾽ αὐτοῦ (sc. τοῦ σώματος) δοθείσῃ εἰς τὸ κάτω κατὰ συμβεβηκὸς φαυλότητος αἴτιον γινόμενον (sc. μέρος τι τοῦ παντός) II 3,13,41 II 6,1,29 εἰ δὲ τὰς καθ᾽ ἕκαστον ψυχὰς ἀναμένει (sc. ἡ τοῦ παντὸς ψ.), ἤδη ἔδει μηκέτι ἐλθεῖν εἰς γένεσιν πάλιν πειραθείσας ἐν τῇ προτέρᾳ γενέσει τῶν τῇδε κακῶν II 9,4,20; 5,32 (v. φυλάττεσθαι).35 (v. πεῖρα) εἰ δ᾽ ἐν ταῖς ψυχαῖς λαβεῖν ἀξιοῦσι τοῦ κόσμου τὸ εἶδος, τί τὸ καινὸν τοῦ λόγου; 36; 6,35 (v. supra,b1) ψυχὰς ἐν τάξει, ἄνευ τῶν σωμάτων μέγεθος δούσας (sc. τῷ νοητῷ) κτλ II 9,17,6.21 (v. supra,c1)

ψυχὴν δὴ δεῖ ἀρχὴν οὖσαν ἄλλην ἐπεισφέροντας εἰς τὰ ὄντα, οὐ μόνον τὴν τοῦ παντός, ἀλλὰ καὶ τὴν ἑκάστου μετὰ ταύτης, ὡς ἀρχῆς οὐ σμικρᾶς οὔσης, πλέκειν τὰ πάντα, κτλ III 1,8,4 ψυχαὶ ἀγαθαί (sc. ἐν ἐμοί = ἐν τῷ κόσμῳ) III 2,3,25.27 (v. θάλαττα).28 (v. οὐρανός) ἀλλ᾽ ἐκεῖ ψυχαὶ ἀγαθαὶ πᾶσαι, ἄστροις ζῆν διδοῦσαι κτλ 28; 4,8 (v. ἀμείβειν) ἔξω γενέσεως στᾶσα ψ. μετὰ τῆς πάσης ἐστὶ ψυχῆς 10-11 ζῷα καὶ φυτὰ καὶ λόγου καὶ ψυχῆς καὶ ζωῆς μεταλαμβάνει III 2,7,35 εἰ δὲ ἔξω ἑαυτοῦ ἄλλα εἰσήγαγεν (sc. εἰς ὕλην ὁ λόγος), οἷον ψυχάς, καὶ . ., πῶς ὀρθῶς; ἀλλὰ φατέον καὶ τὰς ψυχὰς οἷον

μέρη αὐτοῦ εἶναι κτλ III 2,12,8-10; 17,76 (v. ἐναρμόττειν).78 χείρους δὲ καὶ βελτίους ψυχαὶ αἱ μὲν καὶ δι᾽ ἄλλας αἰτίας, αἱ δὲ οἷον ἐξ ἀρχῆς οὐ πᾶσαι ἴσαι III 2,18,1 εἰ οὐκ (cj. H-S[3]: οὖν MSS) ἄτοπος ἡ εἰσαγωγὴ τῶν ψυχῶν, αἳ δὴ (αἳ δὴ cj. Kirchhoff: αἱ δὲ most MSS) τὰ πονηρά, αἱ δὲ τὰ χρηστὰ ἐργάσονται 19 καὶ αἱ ψυχαὶ δὲ οὐδὲν ἔτι ἐν τῷ παντὶ αἱ θειότεραι, ἀλλὰ μέρη λόγου πᾶσαι; 27.28-29 (v. λόγος,c) III 3,1,7 (v. σύμφωνος); 3,25 (v. ζῷον,a).27 (v. λόγος,c) III 5,6,24 (v. δαίμων).29 (v. ἔρως) III 6,6,75 (v. σῶμα,b); 9,6 (v. πάσχειν,b) III 8,3,9 (v. φύσις,a); 4,15 (v. φύσις,a) III 9,1,33 (v. μερίζεσθαι,b).34 (v. μερίζειν,a)

ψυχαὶ δὲ κἀκεῖ· ἐκεῖθεν γὰρ καὶ ἐνταῦθα. κἀκεῖνος ὁ κόσμος ψυχὰς ἄνευ σωμάτων ἔχει, οὗτος δὲ τὰς ἐν σώμασι γινομένας καὶ μερισθείσας τοῖς σώμασιν IV 1,2-3 ὁμοῦ δὲ πᾶσαι ψυχαὶ ἐν αἰῶνι (v.l. ἑνὶ) τῷ κόσμῳ, οὐκ ἐν διαστάσει τοπικῇ 6.8 (v. ἀδιάκριτος) IV 2,2, 35-37 (v. ἀμέριστος) τὴν ἐν τῷ δακτυλίῳ (δακτύλῳ one MS.) ψυχήν IV 3,3,2 οὐ μόριον ἄλλο ψυχῆς ὁράσει, ἄλλο δὲ ὠσὶ λεκτέον παρεῖναι 14 ἀλλ᾽ ἔστιν, εἴποι τις ἄν, καὶ ψυχῶν διαφορά, ἢ μᾶλλον, καθὸ ἡ μὲν οὐκ ἀπέστη τῆς ὅλης, ἀλλ᾽ ἔσχεν ἐκεῖ οὖσα περὶ αὐτὴν τὸ σῶμα, αἱ δὲ ἤδη ὄντος οἷον ἀδελφῆς ψυχῆς ἀρχούσης μοίρας διέλαχον IV 3,6,11-13; 8,6 καὶ τὰ γιγνόμενα οὕτως ἔμψυχα οὐ πλείους ἐποίησε ψυχάς· ἐξήρτηται γὰρ τῆς μιᾶς, ἣ μένει μία· ὥσπερ καὶ ἐν ἡμῖν . ., τῶν μὲν ἀπέστη ἡ ψ., τοῖς δὲ προσεγένετο, ἕως ἡ μία μένει. ἐν δὲ τῷ παντὶ μένει ἀεὶ ἡ μία IV 3,8, 55-57; 9,26 (v. σκότος) καὶ ἔστιν ἐκεῖνο πᾶν ψυχῆς εἶδος ἐκείνου πλησίον, πρὸς ὃ τὴν διάθεσιν τὴν ἐν αὐτῇ ἔχει, κτλ IV 3,13,4; 14,2 (v. καταυγάζειν).4 (v. νοῦς,b) ὅτι δὲ ἐκ τοῦ νοητοῦ εἰς τὴν οὐρανοῦ ἴασιν αἱ ψυχαὶ τὸ πρῶτον χώραν, κτλ IV 3,17,2 τὸ δὲ γεηρὸν . . ψυχῆς ἥττονος πεφυκὸς μεταλαμβάνειν 6 παρεῖναι λεγομένη ψ. οὐκ ἂν παρῆν αὐτῷ (sc. τοιούτῳ ζῴῳ), καὶ παρεῖχεν αὐτῷ ζωὴν μένουσα πάντη ἐν τῷ ἄνω 30; 18,23 (v. δαίμων); 20,1 (v. τόπος, a).4 (v. ἀφορίζειν) ἡ δὲ ψ. τὸ εἶδος ποιεῖ ἐν τῇ ὕλῃ ἄλλη τοῦ εἴδους οὖσα 38; 22,12 (v. supra, c1); 23,40 (v. τὸ ἐπιθυμητικόν); 24,26 (v. οὐσία, b); 26,19 (v. ζῷον,a) οὐδ᾽ αὖ κραθέντων (sc. σώματος καὶ ψυχῆς ζῷον ἔσται), ὡς δυνάμει τὴν ψυχὴν ἐν τῷ ζῴῳ εἶναι 22 IV 4,23,15 (v. ὁρατός) οὐ τοίνυν δεῖ μόνα ταῦτα εἶναι, τὸ ἔξω καὶ τὴν ψυχήν· ἐπεὶ οὐδ᾽ ἂν πάθοι (sc. ἡ ψ.)· ἀλλὰ δεῖ τὸ πεισόμενον τρίτον εἶναι, τοῦτο δέ ἐστι τὸ τὴν μορφὴν δεξόμενον (sc. τὸ ὄργανον) 19 cf. ἅτε μεταξὺ τοῦ πεποιηκότος (sc. τὸ πάθος) καὶ ψυχῆς ὂν 25 τῷ εὐθεῖ τῷ ἐν τῇ ψυχῇ IV 4,23,40; 25,13 (v. περίστασις) ἐπὶ τῆς ψυχῆς, εἰ συνέπεται τὰ δεύτερα τοῖς προτέροις . ., ἢ ἐφ᾽ ἑαυτῶν ἕκαστα . . ἢ ὅλως οὐδὲν ἀποτέτμηται τῆς ψυχῆς μέρος, ἀλλὰ πᾶσαι μία καὶ πολλαί, . ., ἐν ἄλλοις IV 4,29, 45-48 ἀλλὰ τί τὸ ἤδη σώματος γενόμενον ἴχνος τῆς ψυχῆς ὄν; ἢ εἰ μὲν ψ., συνέψεται (sc. at death), εἴπερ μὴ ἀποτέτμηται, τῷ ψυχῆς λόγῳ 50-51 εἰ δυνατὸν ζωὴν ἄνευ ψυχῆς εἶναι, εἰ μὴ ἄρα τῷ παρακεῖσθαι τὴν ψυχὴν ἐνεργοῦσαν εἰς ἄλλο (sc. σῶμα), ταῦτα σκεπτέον 53-54; 31,27 (v. σῶμα,a); 37,13 (v. ἔμψυχος).21 (v. ἐπιστρέφεσθαι,c) καὶ συνάπτουσι δὲ ἄλλην ψυχὴν ἄλλῃ (sc. οἱ γόητες) IV 4,40,13.23.24 (v. ἄλογος,Ab); 45,40 (v. μετατίθεσθαι) IV 5,6,28 (v. ἐνέργεια,c) ὥστε εἰ τὸ ποιοῦν ἐκεῖ (sc. in the assumed other world) ἡ ψ. πάντη ἑτέρα, καὶ τὰ ἐκεῖ ὑποτεθέντα ὅμοια οὐδὲν πρὸς αὐτήν (sc. τὴν τοῦδε τοῦ κόσμου ψυχήν) IV 5,8,29 ἅμα γὰρ ψυχὴν λέγει (sc. ἡ ὑπόθεσις) καὶ οὐ ψυχήν, κτλ 32 cf. καὶ γάρ (sc. λέγει), ὡς ἡ ψ. ἐν τούτῳ 35 πῶς . . οὐχ ὥσπερ ξένη ψ. αὕτη ἐν ἀγνοίᾳ ἔσται ὧν ἡ ἑτέρα (sc. μεταλαμβάνει); IV 7,5,19 εἰ τὸ τοσόνδε μέγεθος ψ., ὃ ἐὰν ἔλαττον ᾖ ψ. οὐκ ἔσται, κτλ 26 εἰ δὲ ἕκαστον τῶν μερῶν οὐ ψυχὴν φήσουσιν (sc. Stoici), ἐξ ἀψύχων ψ. αὐτοῖς ὑπάρξει 39 ψυχῆς ἑκάστης τὸ μέγεθος ὡρισμένον ἔσται, οὐδὲ ἐφ᾽ ἑκάτερα ἢ ἐπὶ τὸ ἔλαττόν γε ἢ ἐπὶ τὸ μεῖζον ψ. οὐκ (redundant negative) ἔσται 40-42 ἥ τε αὐτὴ ψ. ἐξ ἄλλου ζῴου ἄλλου (cj. Kirchhoff: ἄλλο MSS) γίνεται· πῶς οὖν ἡ τοῦ προτέρου τοῦ ἐφεξῆς ἂν γένοιτο, εἰ ἦν ἐντελέχεια ἑνός; IV 7,8[5],37 ἀλλ᾽ οὖσα πρὶν καὶ τοῦδε γενέσθαι [οἷον ζῴου οὐ τὸ σῶμα τὴν ψυχὴν γεννήσει] (del. Page,H-S[3]) 43 καὶ δεικνύουσι (sc. πολλαὶ ψυχαί) δι᾽ αὐτῶν καὶ περὶ τῶν ἄλλων ψυχῶν, ὅτι μή εἰσιν ἀπολωλυῖαι IV 7,15,11 IV 8,6,5 (v. ὄντα,k) τὸν αὐτὸν τρόπον οὐδὲ ψυχὰς ἔδει μόνον εἶναι μὴ τῶν δι᾽ αὐτὰς γενομένων φανέντων, κτλ 6 ἄμεινον μὲν ψυχῇ ἐν τῷ νοητῷ εἶναι, κτλ IV 8,7,2 ἆρ᾽ ὥσπερ ψυχὴν ἑκάστου μίαν φαμὲν εἶναι, ὅτι . ., οὕτως καὶ ἡ ἐμὴ καὶ ἡ σὴ μία καὶ πᾶσαι μία; IV 9,1,1 πῶς δὲ καὶ μιᾶς οὔσης ἡ μὲν λογική, ἡ δὲ ἄλογος, καὶ ἡ μὲν ἐν ζῴοις, ἡ δὲ ἐν φυτοῖς ἄλλη; πάλιν δὲ εἰ μὴ θησόμεθα ἐκείνως, τό τε πᾶν ἓν οὐκ ἔσται, μία τε ἀρχὴ ψυχῶν οὐχ εὑρεθήσεται 23; 4,14-15 (v. supra,a)

V 1,2,50 (v. ἄγασθαι) V 3,8,7 (v. λόγος,c) V 7,1,3-4 (v. Σωκράτης).7.10-11 (v. λόγος,c) ψυχὰς ὡρισμένας 17 (v. ἄνθρωπος) V 8,7,16 (v. supra,a) V 9,6,18 (v. λόγος,c) εἰ . . ψυχῆς αὐτοψυχὴ ἐκεῖ ἑτέρα V 9,13,2 οὐδὲ ψυχὴν (sc. δεῖ νομίζειν) εἴδωλον εἶναι αὐτοψυχῆς, τιμιότητι δὲ ἄλλην ἄλλης διαφέρειν, καὶ εἶναι καὶ ἐνταῦθα, ἴσως δὲ οὐχ ὡς ἐνταῦθα, αὐτοψυχήν. εἶναι δὲ ψυχῆς ὄντως οὔσης ἑκάστης καὶ δικαιοσύνην δεῖ τινα καὶ σωφροσύνην, καὶ ἐν ταῖς παρ᾽ ἡμῖν ψυχαῖς ἐπιστήμην ἀληθινήν, κτλ 5-9 ὅσα μὲν οὖν ψ. ἔχει (cj. Fic.,H-S[2]: ἐκεῖ MSS) ἡ τοιαύτη ἐνταῦθα, ταῦτα ἐκεῖ 14 εἰ δὲ τὰ ἐν τῷ κόσμῳ λέγοιτο συμπεριλαμβανομένων καὶ ψυχῆς καὶ τῶν ἐν ψυχῇ, πάντα ἐνταῦθα, ὅσα κἀκεῖ 18 τά τε ἐκ σήψεως ψυχῆς

*ἄλλο τι ἴσως ἀδυνατούσης· εἰ δὲ μή, ἐποίησεν ἄν τι τῶν φύσει. ποιεῖ γοῦν, ὅπου δύναται* V 9, 14,15

*καὶ γὰρ εἰ ἄλλοθεν προσίοι τὸ εἶδος, οὐδαμῇ ψ. ἂν γένοιτο ποιότητος προσελθούσης τῇ ὕλῃ, ἀλλὰ σώματα ἄψυχα. εἰ δέ τι αὐτὴν πλάττοι καὶ ψυχὴν ποιοῖ, πρὸ τῆς γινομένης ψυχῆς ἔσται ἡ ποιοῦσα ψ.* VI 1,27,44-47 *εἰ δέ τις λάβοι ψυχὴν μίαν ἀδιάστατον ἀμεγέθη ἁπλούστατον, ὡς δόξει τῇ πρώτῃ τῆς διανοίας ἐπιβολῇ, πῶς ἄν τις ἐλπίσειε πολλὰ εὑρήσειν πάλιν αὖ;* VI 2,4,21.25 (v. *ζῷον*,a) *ψυχαὶ πᾶσαι εἰς ἓν ἂν βούλοιντο ἰέναι* (cj. Volkmann,H-S: *εἶναι* MSS) *μετὰ τὴν αὐτῶν οὐσίαν* VI 2,11,24; 22,29 (v. supra,b1) *τί οὖν; καὶ τὴν ψυχὴν τὴν τοιαύτην, ἐν ᾗ οὗτοι οἱ λόγοι* (sc. *οἱ τῶν αἰσθητῶν*), *ἐν οὐσίᾳ τῇ τῇδε τάξομεν; κτλ* VI 3,16, 33.40.42 (v. *ποιότης*) *οὐκέτι δὲ τὴν ψυχὴν τῇδε τῇ οὐσίᾳ* (sc. *ἐδίδομεν*), *ὅτι τὸ πρὸς σῶμα αὐτῆς πάθος ἤδη δεδωκότες ἦμεν ποιῷ· ἄνευ δὲ τοῦ πάθους καὶ τοῦ λόγου νοουμένην τῷ ὅθεν ἐστὶν ἀποδεδώκαμεν κτλ* 43; 17,3 (v. *ποιότης*) *ἐπὶ δὲ τῆς ψυχῆς τὸ αὐτὸ ἀριθμῷ τὸ ἐν τῷ ποδὶ καὶ τῇ χειρὶ ὑπάρχει, ὡς δηλοῦσιν αἱ ἀντιλήψεις* VI 4,1,25.27 (v. *μερίζεσθαι*,b) *οὕτω γὰρ τὰς ψυχὰς οἷον βολὰς εἶναι λέγουσιν, ὥστε αὐτὸ μὲν* (sc. *τὸ ὄν*) *ἱδρῦσθαι ἐν αὐτῷ, τὰς δὲ ἐκπεμφθείσας κατ' ἄλλο καὶ κατ' ἄλλο ζῷον γίγνεσθαι* VI 4,3,4; 4,2 (v. *τὸ ὄν*,j).10 *ἀλλ' εἰ ἐκεῖνο μένει τὸ ὂν ἐφ' ἑαυτοῦ, ὅτι παράδοξον εἶναι δοκεῖ τὸ ἅμα ὅλον τι πανταχοῦ παρεῖναι, ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ψυχῶν ἔσται. ἐν οἷς γὰρ λέγονται σώμασιν ὅλαι ἐν ὅλοις εἶναι, οὐχ ἔσονται, ἀλλ' ἢ μερισθήσονται ἢ μένουσαι ὅλαι που τοῦ σώματος δύναμιν αὐτῶν δώσουσιν* 13 *ἀλλὰ πῶς ψυχαὶ πολλαὶ καὶ νοῖ πολλοὶ κτλ;* 18 *οὔτ' οὖν τὸ μίαν εἶναι τὰς πολλὰς ἀναιρεῖ, . ., οὔτε διὰ τὸ μέγεθος τοῦ σώματος δεῖ νομίζειν τὸ πλῆθος τῶν ψυχῶν γίνεσθαι, ἀλλὰ πρὸ τῶν σωμάτων εἶναι καὶ πολλὰς καὶ μίαν. ἐν γὰρ τῷ ὅλῳ αἱ πολλαὶ ἤδη οὐ δυνάμει, ἀλλ' ἐνεργείᾳ ἑκάστη· οὔτε γὰρ ἡ μία καὶ ὅλη κωλύει τὰς πολλὰς ἐν αὐτῇ εἶναι, οὔτε αἱ πολλαὶ τὴν μίαν. διέστησαν γὰρ οὐ διεστῶσαι καὶ πάρεισιν ἀλλήλαις οὐκ ἀλλοτριωθεῖσαι· οὐ γὰρ πέρασίν εἰσι διωρισμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ, καὶ ἔστιν ἡ μία τοιαύτη, ὥστε ἔχειν ἐν ἑαυτῇ πάσας. οὕτως ἐστὶν ἄπειρος ἡ τοιαύτη φύσις* 38-44; 10,24 (v. *δύναμις*,Bb).29 (v. *ἀθάνατος*) *ἡ μὲν δὴ ἐκ τοῦ θείου ψ. ἥσυχος ἦν κατὰ τὸ ἦθος τὸ ἑαυτῆς ἐφ' ἑαυτῆς βεβῶσα, κτλ* VI 4,15,19 VI 7,1,1 (v. *γένεσις*,a); 5,6 (v. *λόγος*,c); 7,14 (v. supra,c1) *ἐποίησε* (sc. *τὸ ἀγαθόν*) *. ., ψυχὰς ἐκ τούτου* (sc. *νοῦ*) VI 7,23, 19; 26,8 (v. *δίωξις*)

**d1β**) in relation to *αἴσθησις* or *μνήμη*: I 1,5, 11 (v. *αἴσθησις*,a2) *εἰ ἡ αἴσθησις διὰ σώματος κίνησις οὖσα εἰς ψυχὴν τελευτᾷ, πῶς ἡ ψ. οὐκ αἰσθήσεται;* I 1,6,11-12 *πῶς ἔτι τὸ συναμφότερον* (sc. *αἰσθήσεται*) *μὴ συναριθμουμένης ψυχῆς μηδὲ τῆς ψυχικῆς δυνάμεως;* 16; 8,20 (v. *εἶδος*,d1) III 6,6,70-71 (v. *εὕδειν*) IV 3,23, 22 (v. *αἰσθητικός*).30 (v. *σῶμα*,a and *ἀντίληψις*); 25,1 (v. *μνημονεύειν*).27 (v. *μνημονεύειν*). 36 (v. *μνήμη*).41 (v. *μνημονεύειν*) *ἵνα κατὰ μὲν τὸν τεχνίτην ἡ ψ. ᾖ ἐν τῷ αἰσθάνεσθαι, κτλ* IV 3,26,4.10 (v. *κοινός*,a).16 (v. *μνημονεύειν*).17 (v. *κοινός*,a).23.55 (v. *πάθημα*,a) *τὰς μὲν οὖν μετιούσας καὶ μεταβαλλούσας* [*τὰς ψυχὰς*] (del. Kirchhoff) *ἔχοι ἄν τις εἰπεῖν ὅτι καὶ μνημονεύσουσι· . .· αἷς δὲ ἐν τῷ αὐτῷ ὑπάρχει μένειν, τίνων ἂν αὗται μνημονεύοιεν;* IV 4,6,1 *τῆς αἰσθητικῆς ψυχῆς ἐν τῇ γειτονίᾳ* (sc. *τοῦ σώματος*) *αἰσθανομένης καὶ ἀπαγγειλάσης τῷ εἰς ὃ λήγουσιν αἱ αἰσθήσεις* IV 4,19,5 *ᾔσθετο δὲ ἡ ψ. παραλαβοῦσα τῷ ἐφεξῆς οἷον κεῖσθαι* 12 *ἡ ψ. ἡ ἐγγύς* IV 4,20,15 (v. *φύσις*,b3).18 (v. *φαντασία*); 22,29 (v. *σῶμα*,a); 23,2 (v. *αἰσθάνεσθαι*,a2).33 (v. *αἴσθησις*,a2).47 (v. *αἴσθησις*,a2); 24,2 (v. *σῶμα*,a) *δεῖ τὴν ψυχὴν οὕτως ἔχειν, ὡς νεύειν πρὸς τὰ αἰσθητά. ᾗ* (cj. Theiler,H-S²: *τῇ* MSS) *δὲ ψυχῇ* (sc. *τοῦ παντός*) *ὑπάρχει ἀεὶ πρὸς τοῖς νοητοῖς εἶναι* IV 4,25,2-3 IV 5,8, 22 (v. *ἀντίληψις*) IV 7,6,32 (v. *μόριον*).48 (v. *μνημονεύειν*) *ἀλλ' εἰ μὲν ἔδωκε* (sc. *ὁ θεός*) *καὶ τὰς αἰσθήσεις, οὐκ ἦσαν αἰσθητικαὶ πρότερον ψυχαὶ οὖσαι· εἰ δ' εἶχον, ὅτε ἐγένοντο ψυχαί, καὶ ἐγένοντο, ἵν' εἰς γένεσιν ἴωσι, σύμφυτον αὐταῖς τὸ εἰς γένεσιν ἰέναι. παρὰ φύσιν ἄρα τὸ ἀπὸ γενέσεως καὶ ἐν τῷ νοητῷ εἶναι, καὶ πεποίηνται δή, ἵνα ἄλλου ὦσι καὶ ἵνα ἐν κακῷ εἶεν* VI 7,1,15-16 VI 8,2,26 (v. *αἴσθησις*,a4)

**d2**) in relation to *σῶμα*: *ἢ γὰρ ψυχῆς* (sc. *τὰ παθήματα*), *ἢ χρωμένης ψυχῆς σώματι, ἢ τρίτου τινὸς ἐξ ἀμφοῖν* I 1,1,3 *ἀλλὰ γὰρ ἐν σώματι θετέον ψυχήν, οὖσαν εἴτε πρὸ τούτου, εἴτ' ἐν τούτῳ, ἐξ οὗ κτλ* I 1,3,1.14 (v. *σῶμα*,a).17 (v. *χωρίζειν*,a) *θῶμεν τοίνυν μεμίχθαι. ἀλλ' εἰ μέμικται, τὸ μὲν χεῖρον ἔσται βέλτιον, τὸ σῶμα, τὸ δὲ* (sc. *βέλτιον*) *χεῖρον, ἡ ψ.* I 1,4,2 *χεῖρον δὲ ἡ ψ. θανάτου καὶ ἀλογίας* (sc. *μεταλαβοῦσα*) 3 *ψυχὴν διαπεφοιτηκυῖαν κτλ* 14 (v. *πάθος*,a) *ἤτοι ἀπαθῆ δεῖ τὴν ψυχὴν φυλάττειν αὐτὴν αἰτίαν γενομένην ἄλλῳ τοῦ τοιούτου* (sc. *τοῦ πάθους*), *ἢ συμπάσχειν καὶ αὐτήν* I 1,5,3.11 (v. *αἴσθησις*,a2).24 (v. *οὐκέτι*); 6,11-12 (v. supra, d1*β*); 7,1 (v. *τὸ συναμφότερον*,b) II 1,8,6 (v. *σῶμα*,b) II 9,17,3 (v. *σῶμα*,a) III 6,6,71 (v. *εὕδειν*) *οἷον σῶμά τι ἱκανὸν ψυχῇ* III 7,6,40 (v. *χρόνος*,c1) IV 1,3 (v. supra,d1*α*) *ἀλλ' οὗτός γε ὁ λόγος ἢ οὐδεμίαν ποιεῖ ψυχὴν ἔξω σώματος γίγνεσθαι, ἢ πᾶσαν οὐκ ἐν σώματι, κτλ* IV 3,3,3; 6,11 (v. supra,d1*α*) *καὶ σαπέντος δὲ ζῴου εἰ πολλὰ ἐξ αὐτοῦ, ἐκείνη μὲν οὐκέτι ἐστὶν ἡ τοῦ παντὸς ζῴου ψ. ἐν τῷ σώματι· οὐ γὰρ ἔχει αὖ τὸ δεκτικὸν αὐτῆς* IV 3,8,49 *τὰ δὲ* (sc. *τοῦ σώματος*) *ἐκ τῆς φθορᾶς . . ἴσχει ψυχὴν οὐδενὸς ὄντος ὅτου ἀποστατεῖ, κτλ* 52;

9,1.4.9.11 (v. σῶμα,a).21 (v. προέρχεσθαι); 19,9-10 (v. σῶμα,a); 20,10 (v. τόπος,a).21 (v. πλησιάζειν).31 (v. σῶμα,a).36 (v. ὅλος,d) *πῶς οὖν ἐν τῷ σώματι ἡ ψ. λέγεται πρὸς πάντων; ἢ ἐπειδὴ οὐχ ὁρατὸν ἡ ψ., ἀλλὰ τὸ σῶμα* 42-43.45 (v. σῶμα,a) *εἰ δέ γε ὁρατὸν ἡ ψ. καὶ αἰσθητὸν ἦν . ., οὐκ ἂν ἔφαμεν τὴν ψυχὴν ἐν τῷ σώματι εἶναι, ἀλλ' ἐν τῷ κυριωτέρῳ τὸ μὴ τοιοῦτον, κτλ* 46-48; 21,4 *ἐπεὶ . ., λέγεται . . οὕτως ἐν τῷ σώματι εἶναι ἡ ψ., ὡς ὁ κυβερνήτης ἐν τῇ νηί, πρὸς μὲν τὸ χωριστὴν δύνασθαι εἶναι τὴν ψυχὴν καλῶς εἴρηται, κτλ* 6-7.11 *εἰ . . θείμεθα τὴν ψυχὴν ἐν τῷ σώματι εἶναι ὡς ἐν ὀργάνῳ φυσικῷ* (cf. Aristot. De An. 412b)—*κτλ* 16 *ἆρ' οὖν οὕτω φατέον, ὅταν ψ. σώματι παρῇ, παρεῖναι αὐτὴν ὡς τὸ πῦρ πάρεστι τῷ ἀέρι; κτλ* IV 3,22,1.14 *τοῦ σώματος πεφωτισμένου τοῦ ἐμψύχου ὑπὸ τῆς ψυχῆς ἄλλο ἄλλως μεταλαμβάνειν αὐτοῦ μέρος* IV 3,23,2.9 (v. ἀντίληψις) *ταῖς δὲ τῶν ψυχῶν καθαραῖς οὔσαις καὶ μηδὲν μηδαμῇ ἐφελκομέναις τοῦ σώματος ἐξ ἀνάγκης <καὶ>* (add. Beutler, H-S$^2$) *οὐδαμοῦ σώματος ὑπάρξει εἶναι* IV 3,24,21; 26,6 (v. σῶμα,a) *ἀλλὰ τὰ μὲν λεκτέον εἰς ψυχὴν λήγειν, ὅσα διὰ σώματος, τὰ δὲ ψυχῆς εἶναι μόνης, εἰ δεῖ τὴν ψυχὴν εἶναί τι καὶ φύσιν τινὰ κτλ* 39-41 IV 4,18,2 (v. σῶμα,a).4 (v. ἄψυχος) *ἔστι τὸ σῶμα τοῦ ζῴου καὶ τοῦ φυτοῦ δὲ οἷον σκιὰν ψυχῆς ἔχοντα* 7; 19,3 (v. ἀλγηδών).4 (v. ἡδονή); 20,5 (v. σῶμα,a) *ἀπάγειν* (sc. τὸ σῶμα) *ἐκ τοῦ ποιοῦντος τὸ πάθος ἡ ψ. βουλομένη ἐποίει τὴν φυγήν, κτλ* 12; 22,29 (v. σῶμα,a) *κριτικῇ δὲ οὔσῃ τῇ ψυχῇ ὑπάρχει βλεπούσῃ εἰς σῶμα καὶ τῶν τούτου παθημάτων τὴν κρίσιν ποιεῖσθαι* 30; 23,33 (v. αἴσθησις,a2).47 (v. αἴσθησις,a2); 24,2 (v. σῶμα,a).6 (v. σῶμα,a); 29,50-51 (v. supra,d1α) IV 5,7,56 (v. ζωή,a) IV 7,3,21 (v. σῶμα,a); 4,3 (v. supra,a).7 (v. supra,a) *εἰ ἡ ψ. σῶμα οὖσα αὔξοι, ἀνάγκη καὶ αὐτὴν αὔξεσθαι, . ., εἰ μέλλει εἰς ἴσον ἰέναι τῷ αὐξομένῳ ὑπ' αὐτῆς. καὶ ἡ ψ. ἔσται τὸ προστιθέμενον ἢ ἄψυχον σῶμα. καὶ εἰ μὲν ψ., πόθεν καὶ πῶς εἰσιούσης, καὶ πῶς προστιθεμένης;* IV 7,5,12-15 *τί τοίνυν φήσουσιν* (sc. Stoici) *οἱ τὴν ψυχὴν σῶμα εἶναι λέγοντες;* 32 *περὶ ἑκάστου μέρους τῆς ψυχῆς τῆς ἐν τῷ αὐτῷ σώματι πότερον ἕκαστον ψυχήν* (sc. *φήσουσιν*), *οἵα ἐστὶ καὶ ἡ ὅλη;* 33-34; $8^5$,2 (v. σῶμα,a) *διαιρουμένου τοῦ σώματος συμμερίζεσθαι τὴν ψυχήν* 7.9 (v. ἀποκόπτειν) V 9,13,12 (v. ἐξαναδύεσθαι) VI 2,5,10 (v. ἕν,c) VI 3,1,30 (v. πάθημα,a) *διὸ καὶ τὸ κατὰ συμβεβηκὸς οὕτω λέγειν συμπαραθεῖν* (most MSS: *συμπαθεῖν* two MSS) *τῷ σώματι καὶ τὴν ψυχὴν οὐκ ἄτοπον ἴσως, εἰ αὐτὴ μὲν ἐφ' ἑαυτῆς λέγοιτο εἶναι οὐχ ὕλης γενομένη οὐδὲ σώματος, τὸ δὲ σῶμα πᾶν κατὰ πᾶν ἑαυτοῦ οἱονεὶ ἐλλάμποιτο* VI 4,3,20; 4,17 (v. δύναμις,Bb) *ἆρ' οὖν καὶ ψυχαί* (sc. *πολλαί*); *ἢ καὶ ψυχαί· ἐπεὶ καὶ τὸ «περὶ τὰ σώματα μεριστὸν»* (cf. Plat. Tim. 35a) *λέγεται ἀμερὲς εἶναι τὴν φύσιν, τὰ δὲ σώματα* (sc. *λέγεται*) *μέγεθος ἔχοντα ταύτης τῆς ψυχῆς φύσεως αὐτοῖς παρούσης, μᾶλλον δὲ τῶν σωμάτων ἐκεῖ* (sc. *ἐν τῇ ψυχῇ*) *γενομένων, ὅσον ἐστὶ μεμερισμένα, κατὰ πᾶν μέρος ἐκείνης ἐμφανταζομένης τῆς φύσεως, περὶ τὰ σώματα οὕτως ἐνομίσθη εἶναι μεριστή. ἐπεί, ὅτι οὐ συνδιείληπται τοῖς μέρεσιν, ἀλλ' ὅλη πανταχοῦ, φανερὸν ποιεῖ τὸ ἓν καὶ τὸ ἀμέριστον ὄντως τῆς φύσεως* 26-29; 5,20 (v. supra,a); 6,3-4 (v. σῶμα,a) *ἦν δὲ γενόμενον* (sc. *τὸ προσεληλυθός*) *οὕτως, ὡς δέξασθαι ψυχήν. τὸ δὲ γίνεται ὡς μὴ δέξασθαι πᾶσαν καίτοι παροῦσαν πᾶσαν, ἀλλ' οὐχ αὑτῷ, οἷον καὶ ζῷα τὰ ἄλλα καὶ τὰ φυτὰ τοσοῦτον ἔχει, ὅσον δύναται λαβεῖν* VI 4,15,3.9.11.15 (v. ζῷον,a) *ἄλλον γὰρ τρόπον τὸ λευκὸν πανταχοῦ καὶ ἡ ψ. ἑκάστου ἐν παντὶ μέρει τοῦ σώματος ἡ αὐτή· οὕτω γὰρ καὶ τὸ ὂν πανταχοῦ* VI 5,6,14

**d3**) individual superior soul: *οἷον . . εἴ τι παρὰ ψυχῆς τῆς ἄλλης εἰς ψυχὴν ἄλλην συγγενῆ οὖσαν* (sc. profluit, Fic.) II 3,9,42 IV 8,8,12 (v. infra,d4) VI 7,15,27 (v. νοῦς,a)

**d4**) individual inferior soul: II 3,9,42 (v. supra,d3) *εἰ δ' ἄλλο εἶδος ψυχῆς* (sc. *τὸ ἐννόημα*), *εἰ ἐκείνη λογική, τάχ' ἂν φυτικὴ καὶ γεννητικὴ αὕτη· κτλ* II 9,11,20 *πᾶσα γὰρ ψ. ἔχει τι καὶ τοῦ κάτω πρὸς σῶμα καὶ τοῦ ἄνω πρὸς νοῦν* IV 8,8,12

**e**) human soul: **1**) in general: **α**) in itself: I 1,7,15 (v. ζῷον,a) *τῇ λογικῇ ψυχῇ* 22 (v. ἄνθρωπος).23 (v. λογισμός) *ἔσται τοίνυν ἐκείνης ἡμῖν τῆς ψυχῆς ἡ φύσις ἀπηλλαγμένη αἰτίας κακῶν, κτλ* I 1,9,1.4 (v. ἀναμάρτητος) *τῆς ψυχῆς τῆς ἀληθοῦς* 21 (v. διάνοια).24 (v. ἀτρεμεῖν) *εἰ ἡμεῖς ἡ ψ., κτλ* I 1,10,1.2 (v. ἡμεῖς,b); 11,9 (v. ἀνθρώπειος).13 (v. ζῷον,a) *εἰ ἀναμάρτητος ἡ ψ., κτλ* I 1,12,1.6 (v. ἀναμάρτητος) *τὸ αὐτὸ ψυχὴν καὶ τὸ ψυχῇ* (cj. Kirchhoff: *ψυχὴν* MSS) *εἶναι λέγων* (sc. *ὁ λόγος*) 7.10 (v. σύνθετος) *τὸ δὲ ἐπισκεψάμενον περὶ τούτων ἡμεῖς ἢ ἡ ψ.; ἢ ἡμεῖς, ἀλλὰ τῇ ψυχῇ. τὸ δὲ «τῇ ψυχῇ» πῶς; ἆρα τῷ ἔχειν ἐπεσκέψατο; ἢ ᾗ ψ.* I 1,13,2-3 *βούλεται δὲ ἡ ψ. φυγεῖν τὰ κακά* I 2,1,2.37 (v. ἀρετή,h).41; 2,19 (v. μέτρον) *ψ. δὲ ἐγγυτέρω σώματος καὶ συγγενέστερον* (sc. *τῷ ἀνειδέῳ*)· *ταύτῃ καὶ πλέον μεταλαμβάνει, ὥστε καὶ ἐξαπατᾶν κτλ* 23 *τὴν δὴ τοιαύτην διάθεσιν τῆς ψυχῆς καθ' ἣν νοεῖ τε καὶ ἀπαθὴς οὕτως ἐστίν, εἴ τις ὁμοίωσιν λέγοι πρὸς θεόν, οὐκ ἂν ἁμαρτάνοι* I 2,3,19 *ψυχῆς δὲ ἡ διάθεσις* (sc. *ἀλλ' οὐ τοῦ θείου*). *νοεῖ τε ἡ ψ. ἄλλως* 24.28-30 (v. λόγος,c) *ἡ δὲ ἀρετὴ ψυχῆς* 31; 6,14-15 (v. νοῦς,a).18 (v. ἀρετή,h).23 (v. δικαιοσύνη); 7,2 (v. ἀντακολουθεῖν).6 (v. ὅρασις) I 3,4,12 (v. τρέφειν); 5,19 (v. κίνημα) I 4,6,13; 8,13 (v. ἀσθένεια).29 (v. δυσκίνητος); 10,8 (v. ἐνεργεῖν,c).13 (v. εἰκόνισμα) I 5,10,21 (v. εὐδαιμονεῖν).22 (v. ἐνέργεια,b) I 6,1,49 (v. ἀρετή,k) *πλειόνων μερῶν τῆς ψυχῆς ὄντων, κτλ*

52 ἡ ψ. ὥσπερ συνεῖσα λέγει (sc. τὸ ἐν τοῖς σώμασι καλόν) καὶ ἐπιγνοῦσα ἀποδέχεται κτλ I 6,2,3; 3,29 (v. καλός,a); 4,2 (v. ὄργανον,b).12 (v. ὁρᾶν,b).18 (v. πάσχειν,a); 5,4 (v. κάλλος). 10 (v. ἀχρώματος).13 (v. μέγεθος,a).21 (v. ἐράσμιος).23 (v. αἰσχρός).25 (v. αἰσχρός) οὐκέτι μὲν ὁρῶσαν ἃ δεῖ ψυχὴν ὁρᾶν, κτλ 37.48 (v. ὕλη,c5).50 (v. αἶσχος).54 (v. μονοῦσθαι) πρὸς δὲ τὰ ἄνω τὴν ψυχὴν ἄγουσα (sc. φρόνησις). γίνεται οὖν ἡ ψ. καθαρθεῖσα εἶδος καὶ λόγος κτλ I 6,6,13 λέγεται ὀρθῶς τὸ ἀγαθὸν καὶ καλὸν τὴν ψυχὴν γίνεσθαι ὁμοιωθῆναι εἶναι θεῷ 19; 7,31 (v. ἀγών); 8,14 (v. σῶμα,c); 9,3 (v. ἐθιστέον).5 (v. ἐργάζεσθαι) πῶς ἂν οὖν ἴδοις ψυχὴν ἀγαθὴν οἷον τὸ κάλλος ἔχει; 6.32 (v. καλός,a) I 7,3,7 (v. θάνατος).11 (v. καθαρός, a) ἡ ψ. ἔσται ἀμφοτέρων (sc. ζωῆς καὶ θανάτου) δεκτική 15 τῇ δὲ ἀρετῇ ἐν ἀγαθῷ γίνεσθαι (sc. λεκτέον) τὴν ψυχὴν οὐ ζῶσαν τὸ σύνθετον, κτλ 21 I 8,4,5 (v. κακός,a).10 οὐκ ἔξω ὕλης οὐδὲ καθ' αὑτὴν εἶναι ἡ ψ. ἡ τοιαύτη 15; 5,3 (v. τὸ κακόν,b).17 (v. πονηρία) τοῖς μέρεσι τῆς ψυχῆς 18 τὰ ἔξω ψυχῆς 20 (v. κακά,c) «ἀποφυγὴν κακῶν» (cf. Plat. Phaed. 107d) τῶν ἐν ψυχῇ 29; 8,42 (v. κακία) εἰ οὖν ἐν τῇ ψυχῇ ἔσται κακόν, κτλ I 8,11,5.9 (v. κακόν,b) εἰ τοῦ ἀγαθοῦ στέρησις ἐν ψυχῇ, τὴν δὲ κακίαν ἐν αὐτῇ ποιεῖ τῷ λόγῳ τῷ ἑαυτῆς, ἡ ψ. οὐδὲν ἔχει ἀγαθόν· οὐ τοίνυν οὐδὲ ζωὴν οὖσα ψ. 11-13.14 (v. ἄψυχος) ὥστε ψ. οὖσα οὐκ ἔσται ψ. . ἔχει ἄρα τῷ ἑαυτῆς λόγῳ ζωήν 14; 12,2 (v. στέρησις) καὶ τὸ μὲν ἀγαθὸν τῇ ψυχῇ ἔσται ἐν οὐσίᾳ, συμβεβηκὸς δέ τι τὸ κακόν 6; 13,4 (v. ἐμπόδιος).18 (v. κακία); 14,1 (v. ἀσθένεια). 8.10 (v. τὸ ἀσθενές) cf. 14 οὐ . . νόσος . . ἀσθενῆ ἐποίησε ψυχὴν εἶναι. ἀνάγκη δὴ τὴν τοιαύτην ἀσθένειαν ψυχῆς ἢ ἐν ταῖς χωρισταῖς παντελῶς ἢ ἐν ταῖς ἐνύλοις ἢ ἐν ἀμφοτέραις εἶναι. εἰ δὴ μὴ ἐν ταῖς χωρὶς ὕλης . . λοιπὸν ἐν ταῖς πεσούσαις εἶναι τὴν ἀσθένειαν, κτλ I 8,14,17.25 (v. πτῶμα).27.29-30 (v. τόπος,a).44 (v. πτῶμα).50 (v. ὕλη,a2a) εἰ αὐτὴ ἡ ψ. τὴν ὕλην (q.v.,a2a) ἐγέννησε παθοῦσα, κτλ 51 ἐπεὶ ψυχῇ τί ἂν εἴη κακόν; ἢ τίνι ἂν μὴ ἐφαψαμένη τῆς φύσεως τῆς χείρονος; I 8,15,13

II 1,5,20 (v. supra,c1) II 2,2,20 (v. κινεῖν,a). 21 (v. πνεῦμα,b) II 3,8,9 (v. σφάλλεσθαι).14 (v. ἀρετή,k).15 (v. συντυχία) ἔν τε Τιμαίῳ θεὸς μὲν ὁ ποιήσας τὴν «ἀρχὴν τῆς ψυχῆς» (cf. Plat. Tim. 69c) δίδωσιν, κτλ II 3,9,7 «ψυχῆς ἄλλο εἶδος» (cf. Plat. Tim. 69c), ἀφ' οὗ τὰ παθήματα ταυτί 9.11 (v. ἄστρον); 15,16 (v. ἄριστος,a) οὐ . . τοιοῦτον εἶναι ψυχήν, οἷον, ὅ τι ἂν ἔξωθεν πάθῃ, ταύτην φύσιν ἴσχειν, μόνην τῶν πάντων οἰκείαν φύσιν οὐκ ἔχουσαν 18 ἡ δὲ ψ. καθ' αὑτὴν ἐπιτηδείως ἔχουσα τὸ δυνάμει ἦν ἥπερ καὶ ἐπιστήμων (sc. ὁ ἀμαθής) II 5,2,21 ψυχῆς δὲ ἡμῶν τὸ μὲν ἀεὶ πρὸς ἐκείνοις, τὸ δὲ πρὸς ταῦτα ἔχειν, τὸ δ' ἐν μέσῳ τούτων II 9,2,4; 5,8 (v. ἀθάνατος) αἱ ψυχαὶ εἰ μὲν βιασθεῖσαι ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς ἦλθον, πῶς βελτίους αἱ βιασθεῖσαι; ἐν γὰρ ψυχαῖς τὸ κρατῆσαν κρεῖττον. εἰ δ' ἑκοῦσαι, τί μέμφεσθε εἰς ὃν (sc. κόσμον) ἑκόντες ἤλθετε κτλ; II 9,8,39-41; 9,13 (v. ἁμαρτίαι).50 (v. ἄνθρωπος) πῶς οὐ θαυμαστὸν αὐτοὺς (sc. the Gnostics) μὲν οὐκ εἴδωλα ψυχῶν ἐνθάδε ἐλθόντας εἰς τὸν κόσμον τόνδε, ἀλλὰ ἀληθινὰς ψυχάς, μόλις κτλ II 9,12,4-5 ἀλλ' ἴσως αὐτοὶ (sc. the Gnostics) οὕτω κόσμον ἐποίησαν ὡς ἂν ἀληθεστέρᾳ ψυχῇ χρώμενοι, ἐκεῖνος δὲ οὕτως ἠγνόει ποιῆσαι 24 διαθέσεσι ψυχῶν II 9,13,25; 15,2 (v. ἀκούειν).32 (v. θεραπεύεσθαι).38 (v. ἀρετή, k); 16,9 (v. πατήρ,b)

III 1,5,28 (v. γονεύς) ὅταν μὲν οὖν ἀλλοιωθεῖσα παρὰ τῶν ἔξω ψ. πράττῃ τι . . ., οὐχὶ ἑκούσιον τὴν πρᾶξιν . . λεκτέον III 1,9,5.13 (v. ἀρχή,A2c) καὶ τὰ μὲν ὑπὸ ψυχῆς (sc. γίνεσθαι), τὰ δὲ δι' ἄλλας αἰτίας τὰς κύκλῳ III 1,10,3.4 (v. πράττειν,b) III 2,4,24 (v. κακύνεσθαι) εἰ . . ψυχαῖς ἐν τῷδε τῷ παντὶ ἔξεστιν εὐδαίμοσιν εἶναι, εἴ τινες μὴ εὐδαίμονες, κτλ III 2,5,1.13 (v. μαλακίζεσθαι) ὅσα μὲν οὖν ἔργα ψυχῶν, κτλ III 2,7,15 οἷον ὅσα κακαὶ ψυχαὶ ἄλλας ἔβλαψαν κτλ 17 εἴρηται γὰρ ὅτι ἔδει καὶ ψυχὰς κινήσεις οἰκείας ἔχειν καὶ ὅτι οὐ ψυχαὶ μόνον, ἀλλὰ ζῷα ἤδη, κτλ 20-21; 8, 17 (v. παῖς) cf. 18 (v. παιδεύεσθαι) ἡ ἔνδον ψ. III 2,15,48 (v. ἄνθρωπος); 16,14 (v. λόγος,c) οἷον ψυχῆς ἀσθενεστέρας γενομένης· ὕστερον δὲ καὶ ἐκλάμψει III 3,4,36 οἷον ἄλλης τῆς ψυχῆς γενομένης καὶ ἑτεροιωθέντος τοῦ λόγου, ἵνα γένηται ψ. βοός, ἣ πρότερον ἦν ἄνθρωπος 42-43 ἔστι γὰρ καὶ πολλὰ ἡ ψ. καὶ πάντα καὶ τὰ ἄνω καὶ τὰ κάτω αὖ μέχρι πάσης ζωῆς III 4,3,21; 5,3 (v. αἵρεσις) cf. 4 (v. κύριος) III 4,5,7 (v. προτερεῖν) ἢ δύναται μᾶλλον καὶ ἧττον τὰ τῆς ψυχῆς ἑκατέρας (sc. ἀγαθῆς καὶ κακῆς ἤθη) ἑκάτερα τὰ σώματα παρέχεσθαι, κτλ 12.18 (v. τὸ κύριον,c).21 (v. δαίμων) οὕτως ἡ ψ. διαθέσεως ἔχει, ὡς ἐν τούτοις τοῖς τοιοῖσδε τοιάδε οὖσα τοῦτον ἔχειν βίον καὶ ταύτην προαίρεσιν III 4,6,8.22 (v. κόσμος,c).46 (v. δαίμων) III 5,1,2 (v. ἔρως) cf. 7.11.17.65 (v. πάθημα,a) III 5,2,4 (v. Ἔρως); 3,34 (v. supra, c1); 4,1 (v. ἔρως).7; 5,14 (v. ἄνθρωπος) ἐνεργοῦντας δὲ κατ' ἄλλον δαίμονα, ὃν εἵλοντο κατὰ τὸ σύμφωνον μέρος τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς, ψυχῆς III 5,7,36 πάθη . . οὐ παρὰ ψυχῆς ἔτι γεννώμενα (sc. οἱ παρὰ φύσιν ἔρωτες), ἀλλὰ συνυφιστάμενα κακίᾳ ψυχῆς κτλ 44-45.47 (v. οὐσία,a); 8,19 (v. supra,b1) III 6,1,4 (v. κρίσις). 13 (v. βούλημα) πῶς γὰρ ἄτρεπτον . . ψυχῆς ὁτιοῦν κακίας περὶ αὐτὴν ἐγγινομένης κτλ 20 ἀλλ' εἰ μὲν σῶμά ἐστιν ἡ ψ. . . ἀδύνατον, ἀπαθῆ αὐτὴν καὶ ἄτρεπτον δεικνύναι 25; 2,9 (v. ἀρετή,g).17 (v. ἁρμονία).67 (v. προσθήκη) κινδυνεύομεν γὰρ περὶ ψυχὴν ταῦτα λέγοντες ὅμοιόν τι ὑπολαμβάνειν, ὡς εἰ τὴν ψυχὴν λέγομεν ἐρυθριᾶν . ., μὴ λογιζόμενοι, ὡς διὰ

